Griechisches Lesebuch

für

Lateinschulen.

Von

H. Gebhardt,
königl. Gymnasial-Professor in Passau.

Bamberg, 1869.
Verlag der Buchner'schen Buchhandlung.

Druck von C. Fr. Meyer in Weissenburg.

Vorrede.

Das vorliegende Lesebuch schließt sich aufs engste an Englmanns Formenlehre des attischen Dialekts an. Ich war bestrebt, nicht zu Schwieriges auszuwählen, und gleichwol das Maß der Anmerkungen zu beschränken. Um beiden Rücksichten zu entsprechen, erlaubte ich mir überall, durch Kürzungen oder kleine Änderungen den Satzbau durchsichtiger zu machen oder eine Anmerkung zu umgehen, die für Schüler dieser Stufe, welche erst mit den Formen sich vertraut zu machen haben, völlig werthlos geblieben wäre. Ebenso vertauschte ich gar zu seltne Wörter, wo es angieng, mit gebräuchlichern: der Verfasser eines derartigen Lesebuches hat eben andere Ziele als der Herausgeber eines Klassikers.

In der ersten Abtheilung ist die Einrichtung getroffen, daß je zwei §§ das gleiche Pensum der Grammatik zu Grunde liegt, so daß mit dem Übersetzungsstoff gewechselt werden kann. Gemischte Beispiele wurden nicht beigegeben, sondern die Abschnitte I A und II A der zweiten Abtheilung so gewählt, daß sie bereits gelesen werden können, wann das regelmäßige Verbum eingeübt ist, also im Anschlusse an § 49.

Auch die zweite Abtheilung wurde nach den dargelegten Grundsätzen bearbeitet, so daß selbst die Auszüge aus Plutarch, wiewol ein weniges schwieriger, keine zu hohen Anforderungen stellen. Für Beurtheilung der Anmerkungen möchte ich erinnern, daß, um nicht die freie Wahl zwischen den verschiedenen Abschnitten zu beschränken, ich auf manche Spracherscheinungen immer wieder aufs neue aufmerksam machen mußte.

Historische Notizen wurden, sobald dieß ohne Schaden für das sprachliche Verständniß geschehen konnte, bei Seite gelassen, falls anzunehmen war, daß dem Schüler das betreffende Ereigniß bekannt sein werde. Ebenso wurden Eigennamen im Wörterbuch übergangen, wenn die betreffenden Stellen keine weitere Erläuterung nothwendig machten. Die syntaktischen Regeln wurden absichtlich der Grammatik von Kurz meist wörtlich entnommen.

Leider sind einige unliebe Druckfehler stehen geblieben; auf die störenden wurde im Wörterverzeichniß aufmerksam gemacht.

Passau, im November 1868.

H. Gebhardt.

Erste Abtheilung.

Erste Deklination.

Präsens Indikativ.		Imperativ.	
παύω ich hemme		*παῦε* hemme!	
παύεις du hemmst		*παύετε* hemmet!	
παύει er (sie, es) hemmt		Merke:	
παύομεν wir hemmen		*ἐστί(ν)* er ist	*ἦν* er war
παύετε ihr hemmet		*εἰσί(ν)* sie sind	*ἦσαν* sie waren
παύουσι(ν) sie hemmen.		*εἶναι* sein (Infinitiv).	

§ 1. 1. *Ἡ ἐγκράτεια σωφροσύνην ἐν τῇ ψυχῇ τίκτει.* — 2. *Αἱ ἀράχναι μυίας θηρεύουσιν.* — 3. *Οὐ πενία λύπην παρέχει, ἀλλ' ἐπιθυμία.* — 4. *Αἱ Μοῦσαι ἀδελφαὶ ἦσαν.* — 5. *Παραμυθία ἐν ἀτυχίαις εὐσέβειά ἐστιν.*

§ 1a. 1. *Ἡ ἔνδεια σωφροσύνην τίκτει.* — 2. *Δι' ὁμονοίας καὶ ἀνδρείας τὴν ἐλευθερίαν φυλάττομεν.* — 3. *Αἱ κίχλαι μεταβάλλουσι τὴν χρόαν κατὰ τὰς ὥρας.* — 4. *Πηγὴ καὶ ῥίζα καλοκαγαθίας ἐστὶν ἡ παιδεία.* — 5. *Μωρία ἀδελφή ἐστι πονηρίας.*

§ 2. 1. *Φεύγομεν τοὺς ἀδολέσχας.* — 2. *Δικαιοσύνη ἐστι δικαστοῦ δόξα.* — 3. *Ἐν τῇ στρατιᾷ τῶν Περσῶν τοξόται ἦσαν.* — 4. *Αἱ χελῶναι ἐν τῇ γῇ τίκτουσιν.* — 5. *Θαυμάζομεν τὴν Ἀννίβα γνώμην.*

§ 2a. 1. *Τὴν Ἀθηνᾶν ἐπονομάζουσι*[1] *σώτειραν.* — 2. *Θαυμάζομεν τὴν Λεωνίδου ἀνδρείαν.* — 3. *Οἱ ποιηταὶ ᾄδουσιν Ἑρμοῦ*

---

§ 2a. [1] nämlich: die Leute („man").

τὴν ἀγχίνοιαν. — 4. Ἐγκωμιάζομεν τὴν τοῦ Νομᾶ εὐσέβειαν. — 5. Ἀθηνᾷ προσάπτουσι[1] τὴν τῶν ἐλαιῶν φυτείαν.

Zweite Deklination.

§ 3. 1. Ἀρχὴ σωφροσύνης ἐστὶν ἡ ἐν σιτίοις καὶ ποτοῖς ἐγκράτεια. — 2. Τὴν Ἀθηνᾶν αἱ τέχναι πάρεδρον ἔχουσιν. — 3. Ὁ Εὐφράτης διακόπτει τὸν Ταῦρον μεταξὺ τῶν Ἀρμενίων καὶ Κομμαγηνῶν. — 4. Αἱ μέλισσαι χαίρουσι τῷ κρότῳ. — 5. Τὰ πρόβατα διώκει[1] τὴν ἀλέαν.

§ 3a. 1. Κατὰ Χρύσιππον ἡ διάνοιά ἐστι λόγου πηγή. — 2. Τοῖς Λαπίθαις περὶ[1] γῆς ὅρων πόλεμος ἦν πρὸς Αἰγίμιον. — 3. Διόνυσον λέγουσιν εὑρετὴν ἀμπέλου εἶναι. — 4. Πλοῦτος βασανός ἐστι τῶν ἀνθρώπου τρόπων. — 5. Διαφέρει τὰ ζῷα πολλάκις κατὰ τοὺς τόπους.

Adjektiva der ersten und zweiten Deklination.

§ 4. 1. Σωφρονίζουσι τοὺς μὴ πάνυ ἀνοήτους αἱ συμφοραί. — 2. Δι' ἀνθρώπων ἄνοιαν καὶ τρυφὴν καὶ φιλοτιμίαν μεστός ἐστιν ὁ βίος ἀπάτης, πονηρίας, λύπης. — 3. Μικρὰν λέγουσι μανίαν εἶναι τὴν μέθην. — 4. Χρηστὰς ἀμοιβὰς τοῖς εὐεργέταις πάρεχε! — 5. Ἡ Ἀλεξάνδρου διάνοια σύντονος ἦν.

§ 4a. 1. Ἐν τῇ Θρᾴκῃ καὶ τῇ Ἠπείρῳ οἱ ὄνοι μικροί εἰσιν. — 2. Ἰδίας νόμιζε τῶν φίλων τὰς συμφόρας. — 3. Σωφροσύνη ἐσθλὴν δόξαν ἐν ἀνθρώποις ἔχει. — 4. Ἡ γῆ ἀφθονίαν παρέχει τῶν ἀναγκαίων πρὸς τὸν βίον. — 5. Αἱ μέλισσαί ἐξελαύνουσι τὰς ἀργάς.

Kontrakta der zweiten Deklination und zweite attische Deklination.

§ 5. 1. Τοῖς καλοῖς πρόσεχε τὸν νοῦν. — 2. Ὁ Γάγγης ἀπὸ[1] τοῦ Καυκάσου τὴν πηγὴν ἔχει, κάμπτει δὲ πρὸς ἕω. — 3. Ἐπικίνδυνος ἦν ὁ περίπλους τοῦ Ἄθω. — 4. Τὰ ὀστᾶ ἔχει μυελόν. — 5. Ὁ ἀετὸς θηρεύει λαγὼς καὶ νεβρούς. — 6. Ὁ πλοῦτός ἐστι χρυσοῦν φορτίον.

---

§ 3. [1] Der Plural eines Neutrums wird in der Regel mit dem Singular des Verbums verbunden. — **§ 3a.** [1] verbinde: περὶ ὅρων. — **§ 5.** [1] im.

§ 5a. 1. *Τὰ τοῦ λαγὼ βλέφαρα οὐκ ἔχει προβολὴν ταῖς αὐγαῖς*[1]. — 2. *Οἱ Ἀλβανοὶ ἁπλοῖ ἦσαν καὶ οὐ καπηλικοί.* — 3. *Ὅμηρος λέγει θάνατον εἶναι χαλκοῦν ὕπνον.* — 4. *Οἱ φιλάνθρωποι ἵλεως παρέχουσι τὰς*[2] *ψυχάς.* — 5. *Τὰ ζῷα διαφέρει κατά τε δειλίαν καὶ ἀνδρείαν καὶ νοῦν τε καὶ ἄνοιαν.* — 6. *Ἐν Κνωσσῷ τὰ Μίνω βασίλεια ἦν.*

Dritte Deklination.

Konsonantenstämme.

§ 6. 1. *Σοφία μόνον τῶν χρημάτων ἀθάνατον.*[1] — 2. *Νόμιζε τὴν μὲν πατρίδα οἶκον, τοὺς δὲ πολίτας ἑταίρους.* — 3. *Ἡ τῶν κολάκων εὔνοια φεύγει τὰς ἀτυχίας.* — 4. *Θηρεύουσι τοῖς μὲν κυσὶ τοὺς λαγὼς οἱ κυνηγοί, τοῖς δὲ ἐπαίνοις τοὺς ἀνοήτους οἱ κόλακες.* — 5. *Αἱ πονηραὶ ἐλπίδες ὥσπερ οἱ κακοὶ ὁδηγοὶ ἐπὶ τὰ ἁμαρτήματα ἄγουσιν.*

§ 6a. 1. *Οἱ δελφῖνες οὐκ ἔχουσιν ὦτα, ἀλλὰ μικροὺς πόρους τῆς ἀκοῆς.* — 2. *Ὁ οἶνος τὰς φιλοφροσύνας ὥσπερ ἔλαιον φλόγα ἐγείρει.* — 3. *Ἡ Τύχη τῇ δεξιᾷ χειρὶ*[1] *πηδάλιον ἔχει.* — 4. *Λήθη τῶν ἰδίων ἁμαρτημάτων θρασύτητα τίκτει.* — 5. *Ἡσίοδος λέγει τοὺς ποιμένας ταῖς Μούσαις φίλους εἶναι.* — 6. *Ἡ ἀσέλγεια καὶ δι' ὤτων καὶ δι' ὀφθαλμῶν πανταχόθεν παρέρπει.*

§ 7. 1. *Οἱ ἀετοὶ τύπτουσι ταῖς πτέρυξιν.* — 2. *Οἱ σφῆκες τὰ κηρία πλάττουσιν ἐκ φορυτοῦ καὶ γῆς.* — 3. *Ἰσότης φιλότητα τίκτει.* — 4. *Χαρίς χάριτος αἰτία.* — 5. *Στράβων λέγει ὅτι οἱ Πέρσαι διαφερόντως τῷ πυρὶ καὶ τῷ ὕδατι θύουσιν.* — 6. *Ὁ ἄνθρωπος βάλλει τοὺς προσθίους ὀδόντας.*

§ 7a. 1. *Ἔνιοι λέγουσι περὶ παχύτητος τῶν δελφίνων ἄπιστα.* — 2. *Οἱ ὀρνιθοθῆραι θηρεύουσι τῇ γλαυκὶ παντοδαπὰ ὀρνίθια.* — 3. *Γενναῖα πλοῖα πρὸς χειμῶνα ἀντέχει.* — 4. *Αἰτωλοὶ καὶ Ἀκαρνᾶνες μέσον ἔχουσι τὸν Ἀχελῷον ποταμόν.* — 5. *Στράβων λέγει ὅτι οἱ Ὠρῖται τὰ τοξεύματα χρίουσι θανασίμοις φαρμάκοις.*

---

§ 5a. [1] gegen was? Dativ. — [2] bleibt unübersetzt. — § 6. [1] Die Kopula *ἐστίν*, *εἰσίν* kann fehlen. — § 6a. [1] womit?

§ 8. 1. *Οἱ ποιηταὶ λέγουσι μητέρα τῶν Μουσῶν εἶναι τὴν Μνημοσύνην.* — 2. *Ἀνάξιον ἄνδρα μὴ μακάριζε διὰ πλοῦτον!* — 3. *Σικελία ἱερὰ ἦν Δήμητρος καὶ Κόρης.* — 4. *Ἀπόλλω τῆς κιθάρας εὑρετὴν ἀναγορεύουσιν.* — 5. *Τοῖς ἄρχουσι καθάπερ πατράσιν ὑπακούετε!*

§ 8a. 1. *Πρόπολοι τῶν μὲν Μουσῶν εἰσιν οἱ μουσικοί, Δήμητρος δὲ οἱ μύσται καὶ δᾳδοῦχοι.* — 2. *Τὴν Κυβέλην οἱ Φρύγες μητέρα θεῶν ὀνομάζουσιν.* — 3. *Οἱ ἀγαλματοποιοὶ τοὺς ποταμοὺς ἀνδράσιν ὁμοίους πλάττουσιν.* — 4. *Οἱ πολύποδες ταῖς πλεκτάναις ὡς χερσὶ κατέχουσι τὴν ἄγραν.* — 5. *Ὅμηρος ἐννοσίγαιον ὀνομάζει τὸν Ποσειδῶ.*

Vokalstämme.

§ 9. 1. *Τῶν τῆς ψυχῆς ἀρρωστημάτων καὶ παθῶν ἡ φιλοσοφία φάρμακόν εστιν.* — 2. *Καλοῦ γήρως θεμέλιος ἐν παισὶν ἡ τῶν σωμάτων εὐεξία.* — 3. *Ὅμηρος ἀπὸ*[1] *κρεῶν δειπνίζει τοὺς ἥρωας.* — 4. *Ἀνθρώπων ὄντως θνητὰ μὲν καὶ ἐφήμερα τὰ σώματα, θνητὰ δὲ τύχαι καὶ πάθη.* — 5. *Οἱ Ἕλληνες τὸν Ἡρακλέα καλλίνικον ὀνομάζουσι διὰ τὴν ἐν μάχαις ἀρετήν.* — 6. *Ἐν Σικελίᾳ Σιτοῦς Δήμητρος ἦν ἄγαλμα.*

§ 9a. 1. *Καλὸν γήρως ἐφόδιόν ἐστιν ὁ κατὰ φύσιν βίος.* — 2. *Ἐλπὶς κακοῦ κέρδους ἐστὶν ἀρχὴ ζημίας.* — 3. *Παισὶν αἰδῶ καταλείπετε, μὴ χρυσόν!* — 4. *Χαίρουσι κατ' Ἀριστοτέλη οἱ ἵπποι τοῖς λειμῶσι καὶ τοῖς ἕλεσιν.* — 5. *Οἱ κύκνοι βιοτεύουσι περὶ λίμνας καὶ ἕλη.* — 6. *Πειθοῖ καὶ διδαχῇ*[1] *προάγουσι τοὺς ἐσθλοὺς τῶν παίδων οἱ διδάσκαλοι ἐπ' ἀρετήν.*

§ 10. 1. *Τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις δικαίας εἶναι προσήκει.* — 2. *Ἡρακλῆς σύμμαχος Αἰγιμίου ἦν τοῦ Δωριέων βασιλέως.* — 3. *Φύσεως ἀρετὴν διαφθείρει ῥᾳθυμία.* — 4. *Πρὸς ταῖς Σάρδεσιν ἦν τὸ τοῦ Ἀλυάττου μνῆμα.* — 5. *Δία μόνον θεῶν πατέρα καὶ βασιλέα ἐπονομάζουσιν.* — 6. *Ἡ Εὔβοιά ἐστιν ἀντίπορθμος τῇ τε Ἀττικῇ καὶ Βοιωτίᾳ καὶ Λοκρίδι καὶ τοῖς Μαλιεῦσιν.*

---

§ 9. [1] mit. — § 9a. [1] wodurch?

§ 10 a. 1. Ἡ πλεονεξία τὴν τῶν οἴκων εὐδαιμονίαν καὶ τὴν τῶν πόλεων ἀποτρέπει. — 2. Τοὺς παῖδας ἐπὶ τὰ καλὰ τῶν ἐπιτηδευμάτων ἄγομεν παραινέσεσι[1] καὶ λόγοις. — 3. Οἱ τῶν μελισσῶν βασιλεῖς ἔχουσι μὲν κέντρον, ἀλλ' οὐ τύπτουσιν. — 4. Οἱ Ἀθηναῖοι φύσει[2] φθονεροὶ ἦσαν. — 5. Αἰακὸς Διὶ φίλος ἦν διὰ τὴν εὐσέβειαν. — 6. Τῶν ζῴων ἔνια μὲν ἔχει μυκτῆρας, ἔνια δὲ πόρους τῆς ὀσφρήσεως.

§ 11. 1. Ἀριστοτέλης λέγει ὅτι οἱ θερινοὶ ὄμβροι συμφέρουσι τοῖς ἰχθύσιν. — 2. Οἱ ὕες τὰς βαλάνους ἡδέως ἐσθίουσιν. — 3. Οἱ βόνασοι τὴν φωνὴν ὁμοίαν ἔχουσι βουσίν. — 4. Αἱ βόες καὶ οἶες καὶ αἶγες μηρυκάζουσιν. — 5. Ἔνιοι λέγουσι τοὺς μῦς μαντικοὺς εἶναι. — 6. Αἱ νῆες εὕρημα ἦσαν Ἰανοῦ τοῦ θεοῦ.

§ 11 a. 1. Αἰλιανὸς λέγει ὅτι οἱ Πέρσαι τοῖς βασιλεῦσι δῶρα προσφέρουσιν ἢ βοῦς ἢ οἶς ἢ σῖτον ἢ οἶνον. — 2. Οἱ ἰχθύες τοὺς ψόφους φεύγουσιν οἷον τὰς εἰρεσίας τῶν νεῶν. — 3. Οἱ πολύποδες θηρεύουσι τοὺς ἰχθῦς ταῖς πλεκτάναις ὥσπερ ἄρκυσιν. — 4. Αἱ νῆες τῶν παλαιῶν Ἑλλήνων ἄφρακτοι ἦσαν. κατὰ τοὺς Τρωϊκοὺς χρόνους. — 5. Αἱ ἐγχέλεις τὰς μεταβολὰς[1] οὐχ ὑπομένουσι τὰς ἰσχυράς.

Anomale Substantiva.

§ 12. 1. Ἀναξίμανδρος Θάλεω μαθητὴς ἦν. — 2. Λέγουσιν Ἥφαιστον καὶ Ἄρην Διὸς υἱέας εἶναι. — 3. Καθ' Ἡρόδοτον ἐν Τύρῳ ἱερὸν Ἡρακλέους ἦν τοῦ ἥρω. — 4. Οἱ Ἰνδοὶ ἐν μὲν τοῖς θερινοῖς ὄμβροις λίνον σπείρουσι καὶ ὄρυζαν, ἐν δὲ τῷ χειμῶνι πυροὺς καὶ κριθάς. — 5. Ὁ αἰγίθαλος νεοττεύει ἐν τοῖς δένδρεσιν. — 6. Καλῶς ὁ Πλάτων δυσμὰς βίου λέγει τὸ γῆρας.

§ 12 a. 1. Ἡ Ἀρμηνία ἡμέροις δένδρεσι πληθύει· φέρει δὲ καὶ ἐλαίαν. — 2. Τὰ μέτρα καὶ σταθμὰ Ἑρμοῦ ἐστιν εὕρημα. — 3. Οἱ φρόνιμοι τῶν υἱέων πιστεύουσι τοῖς πατράσιν ὡς ἐσθλοῖς ὁδηγοῖς. — 4. Οἱ λύκοι ἐπιβουλεύουσι τοῖς ἀρνάσιν. — 5. Οἱ ἐτησίαι τοῦ θέρους[1] ἐκ τοῦ πελάγους ἐπιπνέουσιν ἐπὶ τὴν Ἰνδικὴν γῆν. — 6. Οἱ πατέρες δυσχεραίνουσι ῥαθύμοις υἱέσιν.

---

§ **10a.** [1] wodurch? [2] von N. — § **11a.** [1] in Beziehung auf Wärme und Kälte nämlich. — § **12a.** [1] während welcher Zeit?

Adjektiva der dritten Deklination.

§ 13. 1. Ὅμηρος Ἑλλήσποντον ἰχθύεντα λέγει. — 2. Ἡ μὲν φωνὴ τοῦ λυπεροῦ καὶ ἡδέος ἐστὶ σημεῖον, διὸ καὶ τοῖς ἄλλοις ὑπάρχει ζῴοις· λόγον δὲ μόνος ἄνθρωπος ἔχει τῶν ζῴων. — 3. Κέρδος αἰσχρὸν βαρὺ κειμήλιον. — 4. Αἱ παράδοξοι πράξεις βαρεῖς μὲν τοὺς[1] φθόνους, ὀξείας δὲ τὰς[1] διαβολὰς ἔχουσιν. — 5. Ἡ τῶν ὄφεων γλῶττά ἐστι λεπτὴ καὶ μακρὰ καὶ μέλαινα. — 6. Φύσει[2] τὸ αἷμα τὸν[3] χυμὸν ἔχει γλυκύν. — 7. Ἅπασα ἡ Κρήτη ἐστὶν ὀρεινὴ καὶ δασεῖα, ἔχει δ' αὐλῶνας εὐκάρπους.

§ 13a. 1. Οὐδέποτε ἡδεῖς οὐδὲ ὠφέλιμοί εἰσιν οἱ τοῦ μίσους καρποί. — 2. Μὴ ἔκκλινε ἀπὸ τῆς εὐθείας ὁδοῦ. — 3. Μετ' ἀρετῆς δίαιτα πᾶσα καὶ βίος ἄλυπός ἐστιν. — 4. Οἱ ἰχθύες φεύγουσιν ἐν τῷ χειμῶνι τὰ βαθέα ἐν τοῖς ποταμοῖς. — 5. Αἱ Ἴβιες αἱ ἐν Αἰγύπτῳ λευκαί[1] εἰσιν ἢ μέλαιναι. — 6. Ἡ φιλαργυρία μητρόπολις πάσης κακίας ἐστίν. — 7. Ὅμηρος τὴν μὲν Αὐλίδα λέγει πετρήεσσαν, ποιήεντα δὲ τὸν Ἁλίαρτον.

§ 14. 1. Ὁ ἀκόλαστος βίος σφοδρὰς μὲν λύπας, σφοδρὰς δὲ ἡδονάς, συντόνους δὲ καὶ οἰστρώδεις ἐπιθυμίας παρέχει. — 2. Ὁ τῶν φρονίμων τε καὶ σοφῶν λόγος ἡγεμὼν καὶ βοηθὸς εὐπειθοῦς καὶ ἀγαθῆς φύσεως. — 3. Νομίζετε τὴν πανουργίαν καὶ τὴν ἀπάτην ἀνόητον[1] καὶ δουλοπρεπές! — 4. Τὴν ψευδῆ δόξαν ταχὺ ἐλέγχει ἡ πεῖρα. — 5. Συγγνώμη μὲν ἡμέρου φύσεώς[2] ἐστι, τιμωρία δὲ θηριώδους. — 6. Αἱ μέλισσαι δυσχεραίνουσι ταῖς δυσώδεσιν ὀσμαῖς καὶ ταῖς τῶν μύρων. — 7. Οὐ δυνατὸν ἀνθρώποις τελέως μακαρίοις τε καὶ εὐδαίμοσιν[3] εἶναι.

§ 14a. 1. Ὅμηρος διοτρεφεῖς εἶναι λέγει τοὺς βασιλέας. — 2. Ὑπερβάλλουσιν ἐν μὲν τῷ σώφρονι βίῳ αἱ ἡδοναὶ τῶν ἀχθηδόνων, ἐν δὲ τῷ ἀκολάστῳ αἱ λῦπαι τῶν ἡδονῶν μεγέθει καὶ πλήθει[1]. — 3. Τὸν καλὸν κἀγαθὸν ἄνδρα εὐδαίμονα νομίζομεν.

---

§ 13. [1] bleibt unübersetzt. [2] von Natur. [3] im Deutschen der unbest. Artikel. — **§ 13a.** [1] Der weiße Ibis ist der den Ägyptern heilige. — **§ 14.** [1] Das prädikative Adjektiv steht bei einem männlichen oder weiblichen Substantiv im Griechischen sehr oft im Neutrum (als Substantiv). [2] Der Genitiv steht bei *εἶναι* in der Bedeutung: es ist einem eigen, es ist das Zeichen von etwas 2c. [3] Prädikat zu *ἀνθρώποις*. — **§ 14a.** [1] Dativ der Beschränkung auf die Frage: in welcher Hinsicht?

— 4. Τό[2] γε πολλαχῇ εἶναι ἐργώδη καὶ δύσκολον τὸν βίον[2] ἄγαν ἀληθές. — 5. Ὁ ἀγαθὸς ἀνὴρ ἄξιος μνήμης εὐκλεοῦς. — 6. Ἀρετῇ[3] καὶ κακίᾳ διορίζω τοὺς εὐγενεῖς καὶ τοὺς δυσγενεῖς. — 7. Οἱ μὲν ἀκρατεῖς ἐν ταῖς ἀρρωστίαις, οἱ δὲ ἄφρονες ἐν ταῖς ἀτυχίαις εἰσὶ δυσθεράπευτοι.

Anomale Adjektiva.

§ 15. 1. Ψυχῆς μέγας χαλινὸς ἀνθρώποις ὁ νοῦς. — 2. Μὴ ἐν πολλοῖς ὀλίγα λέγε, ἀλλ' ἐν ὀλίγοις πολλά! — 3. Ἡ ἀκράτεια μέγα ἐστὶ κακὸν τοῖς ἀνθρώποις. — 4. Ὕπνος πολὺς οὔτε τοῖς σώμασιν οὔτε ταῖς ψυχαῖς ἁρμόττων ἐστίν. — 5. Ἡ τοῦ Νείλου ῥύσις ἐστι πραεῖα. — 6. Τῆς μεγάλης Μηδίας μητρόπολις ἦν τὰ Ἐκβάτανα. — 7. Πραέσι λόγοις μεταπείθομεν τοὺς θυμοειδεῖς.

§ 15a. 1. Ἡ παντελὴς ἀπάθεια μέγα καὶ θεῖον. — 2. Μικροὶ καιροὶ μεγάλων πραγμάτων πολλάκις αἴτιοι. — 3. Πραεῖαν καὶ φιλάνθρωπον βασιλείαν στέργουσιν οἱ ἄνθρωποι. — 4. Τὸ μὲν θνητὸν τοῦ ἀνθρώπου ἀποθνήσκει, τὸ δ' ἀθάνατον σῶν καὶ ἀδιάφθορον μένει. — 5. Οἱ πολλοὶ τὰς ἀνθρωπίνας πράξεις τάς τε δυστυχεῖς καὶ τὰς εὐτυχεῖς κρίνουσιν ἐκ τοῦ τέλους. — 6. Προσήκει πρᾶον εἶναι καὶ συγγνώμονα τῶν ἀνθρωπίνων ἁμαρτημάτων.

Komparation.

§ 16. 1. Ψυχὴ ἀληθείᾳ[1] ἐστὶ πᾶσι τιμιώτατον. — 2. Συγγνώμη τιμωρίας[2] αἱρετωτέρα. — 3. Ἀριστοτέλης λέγει ὅτι τὰ ἄγρια τῶν ζῴων ἐστὶν ἀγριώτερα μὲν ἐν τῇ Ἀσίᾳ, ἀνδρειότερα δ' ἐν τῇ Εὐρώπῃ. — 4. Οἱ Πυθαγόρειοι νομίζουσι τὴν τῶν φίλων εὔνοιαν ἀξιολογώτατον ἀγαθὸν εἶναι τῶν ἐν τῷ βίῳ. — 5. Ὁ μακρότατος βίος ὀλίγος ἐστὶ καὶ στιγμαῖος πρὸς τὸν ἄπειρον αἰῶνα. — 6. Ἔπαινοι καὶ ψόγοι πάσης εἰσὶν αἰκίας ὠφελιμώτεροι τοῖς ἐλευθέροις.

§ 16a. 1. Οὐκ ἔστιν ἀρετῆς κτῆμα τιμιώτερον. — 2. Ἀλέξανδρος ἦν ἀνθρώπων φιλοτιμότατος. — 3. Ἡ θήρα τὸ μὲν

---

[2] Τὸ .. εἶναι τὸν βίον Subjekt zu ἀληθές (ἐστιν); im Deutschen ein Substantivsatz mit daß. [3] wornach? — § 16. [1] in Wahrheit. [2] Genetivus comparationis entsprechend dem Abl. comparationis im Lateinischen.

σῶμα παρέχει ῥωμαλεώτερον, τὴν δὲ ψυχὴν ἀνδρειοτέρον. — 4. *Λέγουσι πυρὸς καὶ ὕδατος τὸν φίλον ἀναγκαιότερον εἶναι.* — 5. *Βουλὴ ἐσθλὴ χρησιμωτέρα χρημάτων.* — 6. *Αὐθαίρετος συμφορά πικρότατόν ἐστιν.*

§ 17. 1. *Στράβων λέγει παλαίτατον γένος τοὺς Σαβίνους εἶναι καὶ αὐτοχθόνας.* — 2. *Φίλτατα τοῖς γονεῦσι τὰ τέκνα.* — 3. *Οἱ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς χαίρουσιν.* — 4. *Εἰσὶν κακονούστατοι τῷ πλήθει πονηροὶ ῥήτορες καὶ δημαγωγοί.* — 5. *Ἡ γεωργία πολίτας εὐνουστάτους παρέχει τῷ κοινῷ.* — 6. *Στράβων λέγει λαλιστάτους ἁπάντων εἶναι τοὺς Ἕλληνας.*

§ 17a. 1. *Παλαιότατός ἐστι λόγος, κοινὰ τὰ τῶν φίλων εἶναι.* — 2. *Εὐνουστάτη σύμβουλος ἡ παῤῥησία.* — 3. *Ἄκουε τῶν γεραιτέρων.* — 4. *Κατ' Ἐμπεδοκλέα χάλαζαι ἐν ταῖς εὐδιαιτέραις ὥραις συμβαίνουσιν.* — 4. *Πάντες μετὰ τοῦ δικαίου, ἐῤῥωμενεστέραις ταῖς*[1] *γνώμαις*[2] *διακινδυνεύουσιν ἐν ταῖς μάχαις.* — 5. *Προυργιαιτέρα χάρις ἀχαριστίας.* — 6. *Ἡ Μελιτηνὴ παραπλησιαιτάτη τῇ Κομμαγηνῇ ἐστίν· πᾶσα γάρ ἐστιν ἡμέροις δένδροις*[2] *κατάφυτος.*

§ 18. 1. *Ποδωκέστατοι μέν εἰσι τῶν λαγῶν οἱ ὄρειοι, βραδύτατοι δὲ οἱ ἕλειοι.* — 2. *Ἵππαρχος τῶν Πεισιστράτου παίδων ἦν πρεσβύτατος καὶ σοφώτατος.* — 3. *Τοῦ Καίσαρος τὸ σῶμα διαρκέστατον ἦν.* — 4. *Ὁ τῆς ἔχθρας καρπός ἁπάντων δριμύτατος, ὥσπερ τοὐναντίον ὁ τῆς εὐνοίας λυσιτελέστατος.* — 5. *Φιλία ἁπάντων μέν ἐστι συμφορώτατον, ἁπάντων δὲ ἥδιστον.* — 6. *Βουλὴ κακὴ πάντων ἔχθιστον.*

§ 18a. 1. *Διόδωρος λέγει τὸν Νεῖλον γλυκύτατον εἶναι πάντων τῶν ποταμῶν.* — 2. *Πλάτων ἥδιστον εἶναι τῶν ἀκουσμάτων τὴν ἀλήθειαν λέγει.* — 3. *Σωκράτης τῶν ἡδονῶν πασῶν ἐγκρατέστατος ἦν.* — 4. *Ἄνθρωπος ἀκρατὴς οὐ διαφέρει τῶν ἀφρονεστάτων βοσκημάτων.* — 5. *Πιττακὸς λέγει· τῶν μὲν ἀγρίων θηρίων κάκιστος ὁ τύραννος· τῶν δὲ ἡμέρων ὁ κόλαξ.* — 5. *Οὐδέν*[1] *ἐστιν αἴσχιον ἀχαριστίας.*

§ 19. 1. *Κρείττων ἡ πρόνοια τῆς μεταμελείας.* — 2. *Φιλίας καὶ ὁμονοίας οὐδὲν κάλλιον οὐδὲ θειότερον.* — 3. *Αἱ μέγισται*

---

§ 17a [1] bleibt unübersetzt. [2] womit? — § 18a [1] nichts.

ἡδοναὶ ἄνευ κακῶν οὔκ εἰσιν. — 4. Μείζους ἐπιθυμίαι μείζους ἐνδείας τίκτουσιν. — 5. Δαίδαλος ἦν ἀρχιτέκτων ἄριστος καὶ πρῶτος ἀγαλμάτων εὑρετής. — 6. Ἀεὶ δίωκε τὸ βέλτιστον! — 7. Τοῖς Ἀθηναίοις κυβερνῆται ἦσαν καὶ ἡ ἄλλη ὑπηρεσία πλείους καὶ ἀμείνους ἢ ἁπάσῃ τῇ ἄλλῃ Ἑλλάδι.

§ 19a. 1. Κράτιστον λύπης φάρμακον ὁ λόγος. — 2. Οὐχ ὁ μακρότατος βίος ἄριστος, ἀλλ' ὁ σπουδαιότατος. — 3. Εὔκαιρος σιγὴ παντός λόγου κρείττων. — 4. Συμπάσης ἀμείνων ἀνθρωπίνης ἰσχύος ἡ παρὰ θεῶν εὔνοια. — 5. Ἡ κολακεία τὸ κάλλιστον καὶ δικαιότατον διαφθείρει, τὸν ἔπαινον. — 6. Ὡς δι' ὁμίχλης τὰ σώματα, οὕτω καὶ δι' ὀργῆς τὰ πράγματα μείζονα εἶναι κινδυνεύει. — 7. Οἱ ὄρτυγες τοῦ φθινοπώρου[1] πιότεροί εἰσιν ἢ τοῦ ἔαρος.

§ 20. 1. Πάντα τὰ θνητὰ ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ βελτίονα μεταβολὴν λαμβάνει ἢ ἀπὸ τῶν βελτιόνων ἐπὶ τὰ χείρω. — 2. Αἰσχρόν ἐστιν ἥττονα[1] εἶναι γαστρὸς ἢ ὕπνου. — 3. Ἄπληστος χρημάτων ὄρεξις πενίας ἐσχάτης πολὺ[2] χαλεπωτέρα. — 3. Οἱ τῶν Σκυθῶν ἵπποι μικροὶ μὲν ἦσαν, τάχιστοι δέ. — 4. Τῶν τῆς Σικελίας πλευρῶν ἐλαχίστη ἐστὶν ἡ τῷ πορθμῷ καὶ τῇ Ἰταλίᾳ προσεχής. — 5. Ῥᾷστα[3] φέρει τὴν ἀτυχίαν ὁ σοφός.

§ 20a. 1. Πολλῷ[1] πλείονας βλάβας πάσχουσιν ἄνθρωποι ὑπ' ἀργυρίου ἢ ὑπὸ πενίας. — 2. Στάσεως καὶ διαφορᾶς σκυθρωπὸς μὲν ἡ προσηγορία, πολὺ[1] δὲ χείρω τὰ ἔργα. — 3. Τὸ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν. — 4. Τοὺς ἀλαζόνας ἐν τοῖς ἐλαχίστοις ἐλέγχει ἡ πεῖρα. — 5. Κατὰ Πλάτωνα πονηρία θᾶττον[2] θανάτου τρέχει. — 6. Τὰ πεπαίτερα τῶν ἀπίων ἐστὶ γλυκύτερα.

Zahlwörter.

§ 21. 1. Τὸν περίπλουν τῆς Σικελίας Ποσειδώνιος σταδίων[1] τετταρακοσίων καὶ τετρακισχιλίων ἀποφαίνει. — 2. Εἰσὶ

---

§ 19a. [1] wann? während welcher Zeit? — **§ 20.** [1] ergeben, wem? Genet. [2] Zur Verstärkung des Komparativs dient πολλῷ oder πολύ „weit". [3] Über die Bildung und Komparation der Adverbien s. Grammatik. — **§ 20a.** [1] sieh § 20. 2. [2] s. § 20. 3. — **§ 21.** [1] Genetivus qualitatis.

χίλιοι καὶ τριακόσιοι στάδιοι ἀπὸ τῶν Κεραυνίων ἐπὶ τὸ στόμα τοῦ Ἀμβρακικοῦ κόλπου. — 3. Αἱ τῶν Λιπαραίων νῆσοι διέχουσι τοῦ πορθμοῦ σταδίους διακοσίους. — 4. Τὸ τῆς Σικελίας σχῆμα διορίζουσι τρεῖς ἄκραι· τῶν δε πλευρῶν δύο μέν εἰσι κοῖλαι μετρίως, ἡ δὲ τρίτη κυρτή. — 5. Περίανδρος ἦν περὶ τὴν τριακοστὴν ὀγδόην Ὀλυμπίαδα. — 6. Οὐχορεὺς ἦν τῶν τῆς Αἰγύπτου βασιλέων ἔνατος.

§ 21a. 1. Ὁ ἀετὸς τρία μὲν τίκτει ᾠά, δύο δ' ἐκλέπτει. — 2. Στράβων λέγει, ὅτι διέχουσιν ἀλλήλων αἱ πηγαὶ τοῦ τε Εὐφράτου καὶ τοῦ Τίγριος περὶ δισχιλίους καὶ πεντακοσίους σταδίους. — 3. Ὁ Ἰνδὸς δυοῖν στομάτοιν[1] εἰς τὴν μεσημβρινὴν ἐμβάλλει θάλατταν. — 4. Κατ' Ἐρατοσθένη ὁ ἰσημερινὸς κύκλος ἐστὶ σταδίων μυριάδων[2] πέντε καὶ εἴκοσι καὶ δισχιλίων. — 5. Ἐν Σιδῶνι καὶ Τύρῳ ἡ μεγίστη ἡμέρα ἐστὶν ὡρῶν τεσσαρακαίδεκα καὶ τετάρτου[3]. — 6. Καθ' Ἵππαρχόν ἐστι τὸ μέγεθος τῆς γῆς σταδίων εἴκοσι πέντε μυριάδων καὶ δισχιλίων.

Pronomina.

§ 22. 1. Τοὺς φιλαργύρους ἔγωγε οἰκτείρω τῆς ἄγαν χαλεπῆς νόσου. — 2. Ἡ γῆ τροφός τε καὶ μήτηρ ἐστὶν ἡμῶν. — 3. Τόπων μεταβαλαὶ ἡμᾶς οὔτε φρόνησιν διδάσκουσιν οὔτε ἀφροσύνης ἀπαλλάττουσιν. — 4. Ἐπιθυμιῶν ἐγκρατῆ εἶναί σε προσήκει. — 5. Ὡς ὁ κακίας τὰ νέφη, οὕτω καὶ ὁ φαῦλος βίος ἐφ' ἑαυτὸν ἐφέλκει τὰς λοιδορίας. — 6. Γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις! — 7. Ὁ ἡμέτερος βίος μεστός ἐστι πολλῶν κακῶν. — 8. Κατὰ τὴν ἐμὴν γνώμην ἡ γαστριμαργία μήτηρ ἀκολασίας.

§ 22a. 1. Ἀνδρεῖος ἡμῖν ἐστιν[1] ὁ τῶν ἡδονῶν κρείττων. — 2. Τίμιον ὑμῖν καὶ θαυμαστόν ἐστιν ἡ δικαιοσύνη. — 3. Τὰ κακὰ αἰσχρὰ ἐγὼ νομίζω. — 4. Κατὰ τὴν ἐμὴν δόξαν ὁ ἀδικὸς πάντως ἄθλιος. — 5. Πάντες ἑαυτοῖς συγγνώμην ἔχουσιν. — 6. Ἡ τῶν μελλόντων προαίσθησις οὐ τῆς ἡμετέρας φύσεώς[2] ἐστιν. — 7. Ἔχθιστος ἔμοιγε ὁ κόλαξ. — 8. Ἐλεύθερον φύλαττε τὸ σεαυτοῦ φρόνημα!

---

§ 21a. [1] in wie vielen? [2] Genetivus qualitatis. [3] ergänze μέρους. — § 22a. [1] gilt. [2] siehe § 14, 2.

§ 23. 1. Ἄπληστον ἡ ἐπιθυμία καὶ διὰ τοῦτο ἄπορον. — 2. Θήρευε τὰ καλὰ ἔργα· τὰς γὰρ ἡδονὰς ἐκ τούτων γνησίως ἔχομεν. — 3. Πενία καὶ γῆρας καὶ νόσος καὶ πάντα τὰ τοιαῦτα τοῖς μέν ἐστι βαρέα, τοῖς δ' ἐλαφρά. — 4. Τί σεμνότερον θέαμα γενναίου καὶ φιλοπόνου βασιλέως; — 5. Ποῖα μὲν οἰκοδομήματα, πόσον δὲ πλῆθος ἀνθρώπων ἰσχυρότερον δῆμον ἀποφαίνει τῆς πρὸς αὐτὸν ὁμονοίας; — 6. Κοινότατόν ἐστιν ἐλπίς· οἷς γὰρ ἄλλο μηδὲν, αὕτη πάρεστιν[1]. — 7. Οἵτινες πρὸς τὰς συμφορὰς μάλιστα ἀντέχουσιν, οὗτοι καὶ πόλεων καὶ ἰδιωτῶν κράτιστοί εἰσιν.

§ 23a. 1. Τέρψις σὺν τῷ καλῷ μὲν ἄριστον, ἄνευ δὲ τούτου κάκιστον. — 2. Ὁ ἐλέφας ἔχει μυκτῆρα τοιοῦτον καὶ τηλικοῦτον, ὥστε ἀντὶ χειρῶν ἔχει αὐτόν. — 3. Ποία σώματος ἰσχὺς οὐ καταφθίνει δι' ἀμέλειαν καὶ τρυφήν; — 4. Ἄριστός ἐστι κατὰ Βίαντα οἶκος, ἐν ᾧ τοιοῦτός ἐστιν ὁ δεσπότης δι' αὐτόν, οἷος ἔξω διὰ τὸν νόμον. — 5. Ὁ μικρόψυχος πταῖσμα ὁτιοῦν ἀτυχίαν κρίνει μεγάλην. — 6. Λέγει τις παροιμία, ὅτι ἀεὶ Λιβύη φέρει τι καινόν. — 7. Ἰσχὺς οὐκ ἔστιν, ἥντινα οὐ καταλύει χρόνος.

Verbum auf ω. Aktiv.

Präsens und Imperfekt der verba barytona.

Merke: φησί er sagt, φασί sie sagen („man sagt"), ἔφη er sagte.

§ 24. 1. Ἀπείργειν προσήκει τοὺς παῖδας τῆς πρὸς τοὺς πονηροὺς ἀνθρώπους συνουσίας. — 2. Νομίζω τοὺς ἀνθρώπους οὐκ ἐν τῷ οἴκῳ τὸν πλοῦτον καὶ τὴν πενίαν ἔχειν, ἀλλ' ἐν ταῖς ψυχαῖς. — 3. Πᾶσαι μὲν μεταβολαὶ σφαλερώταταί εἰσι, μάλιστα δὲ αἱ ἐν ταῖς πολιτείαις πλεῖστα[1] δὴ καὶ μέγιστα καὶ ἰδιώτας καὶ πόλεις βλάπτουσιν. — 4. Ἀνταλκίδας, σοφιστοῦ τινος μέλ-

---

§ 23. [1] von πάρ-ειμι. — § 24. [1] Zu vielen Verben tritt ein Accus. gleichen Stammes oder der gleichen Bedeutung mit einem Adjektive u. dgl. verbunden; oder es tritt ein Adjektiv im Neutrum mit Hinweglassung des betreffenden Substantivs zum Verbum, so hier: πλεῖστα βλάπτουσι für πλείστας βλάβας βλάπτουσι „fügen den meisten Schaden zu".

λοντος[2] ἀναγιγνώσκειν ἐγκώμιον Ἡρακλέους „Τίς γαρ αὐτὸν, ἔφη, ψέγει;“ — 5. Συμβούλευε μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ ἄριστα. — 6. Χαλεπωτάτη ἐστὶν ἀδικία, ἔχουσα ὅπλα.

§ 24a. 1. Ὁ ἥλιος πανταχῇ ἐπιβάλλων τὰς ἀκτῖνας ὥσπερ ὀφθαλμοῖς πολλοῖς βλέπει ἅπασαν γῆν καὶ θάλατταν. — 2. Οὐ χρημάτων πλῆθος, ἀλλὰ σωφροσύνη καὶ νοῦς ἐστι τὰ σῴζοντα. — 3. Τὴν ὑγίειαν νομίζοντες[1] μέγιστον, εἶναι τῶν ἀνθρωπίνων ἀγαθῶν ὅμως αὐτῇ πολλάκις αὐτοὶ ἐπιβουλεύομεν. — 4. Τύχῃ μὴ πιστεύετε. — 5. Ἢ λέγε τι σιγῆς κρεῖττον ἢ σιγὴν ἔχε. — 6. Θεόπομπος ἔλεγεν, ὅτι τὰς μὲν μετρίας τιμὰς ὁ χρόνος αὔξει, τὰς δ' ὑπεραιρούσας ἀφανίζει. — 7. Οἱ Καρχηδόνιοι αὐτοὶ τὰ αὑτῶν[2] τέκνα καθιέρευον τῷ Χρόνῳ[3].

§ 25. 1. Ῥᾷον ἄν τις συμφορὰν τὴν χαλεπωτάτην φέροι[1] μετὰ φίλων ἢ μόνος εὐτυχίαν τὴν μεγίστην. — 2. Οἱ πλεῖστοι τῶν ἀνθρώπων, ὡς ἂν[2] ἡ χρεία συναναγκάζῃ, τοῦτον τὸν τρόπον διάγουσιν. — 3. Φασὶ μὲν οἱ πολλοὶ τὸν χρόνον τῶν πραγμάτων κριτὴν ἄριστον εἶναι. ὅ,τι δ' ἂν ἀκούωσι μετὰ πολὺν χρόνον, διὰ τοῦτο ἄπιστον νομίζουσιν. — 4. Ὁ πλοῦτος, ἐὰν ὑπερβάλλῃ, πλείονας παρέχει τὰς[3] φροντίδας. — 5. Οὔτε[4] τὸν οἶνον ἐκ τοῦ κεράμου κρίνοιεν ἂν οἱ νοῦν ἔχοντες, οὔτε τὸν ἀγαθὸν ἄνδρα ἐκ τοῦ σχήματος. — 6. Ἡ γλῶττά σου μὴ προτρεχέτω τοῦ νοῦ.

§ 25a. 1. Οὐδεμία ἀπόλαυσις τῶν τοῦ σώματος ἀγαθῶν ἐστιν, ἐὰν[1] μὴ τὰ[2] τῆς ψυχῆς προσυπάρχῃ. — 2. Φιλοσοφίας οὐκ ὄφελος, εἰ μὴ τὴν τῆς ψυχῆς κακίαν ἐκβάλλοι[3]. — 3. Κακῶς ἐστι[4] πᾶσιν, ἐὰν πάντες πάντα ἐπιτηδεύωσιν. — 4. Οἱ

---

[2] Genetivus absolutus entsprechend dem Abl. absol. des Lateiners. — **§ 24a.** [1] mit obgleich aufzulösen. [2] αὐτοὶ τὰ αὑτῶν ihre eigenen. [3] dem Moloch. — **§ 25.** [1] Der Optativ mit ἄν dient zum Ausdrucke einer bescheidenen Behauptung oder einer Möglichkeit; im Deutschen wendet man die Hilfsverba „möchte, dürfte“ an (Potentialis der Gegenwart), z. B. φέροιμι ἄν ich dürfte tragen. [2] Tritt ἄν zu einem Relativ oder Bindewort, so steht das Verb im Konjunktiv. [3] unübersetzt. [4] statt der koordinierenden Verbindung wähle eine subordinierende: sowenig — ebensowenig. — **§ 25a.** [1] § 25. 2. [2] τά = die rechte Verfassung. [3] Der Optativ bezeichnet die bloße Möglichkeit: „wenn — sollte“. [4] εἶναι mit Adverb wird selbständiges Verb; hier: schlimm steht es.

φιλότιμοι μᾶλλον ἂν περὶ τῆς δόξης ἢ τοῦ βίου σπουδάζοιεν[5]. — 5. *Ἀγησίλαος τῇ βασιλείᾳ προσήκειν ἐνόμιζεν οὐ ῥᾳδιουργίαν ἀλλὰ καλοκἀγαθίαν.* — 6. *Τὰ κακὰ κέρδη τοῖς διώκουσι*[6] *κίνδυνος.* — 7. *Κόλχοι τοὺς νεκροὺς ἐν βύρσαις ἔθαπτον.* — 8. *Διογένης τοὺς πόδας οὐπώποτε ἔσκεπεν· οὐ γὰρ ἔφη τρυφερωτέρους εἶναι τῶν ὀφθαλμῶν καὶ τοῦ προσώπου.*

Präsens und Imperfekt der verba contracta auf *εω*.

§ 26. 1. *Ἡ γῆ τοὺς ἄριστα θεραπεύοντας αὐτὴν πλεῖστα ἀγαθὰ ἀντιποιεῖ.* — 2. *Πάντα ἄνθρωπον χρὴ*[1] *φεύγειν τὸ*[2] *σφόδρα φιλεῖν ἑαυτόν.* — 3. *Πολλάκις εἷς φρονῶν μυρίων μὴ φρονούντων κρείττων ἐστίν.* — 4. *Τῷ νοσοῦντι μέχρι τῆς τελευτῆς ἔστιν*[3] *ἐλπίζειν τὴν ὑγίειαν.* — 5. *Ἐάν τις ἀδυνατῇ στέργειν τὸ κρεῖττον, λυσιτελεῖ αὐτῷ καὶ ἄκοντι σωφρονεῖν.* — 6. *Διογένης οὐκ ἐφρόντιζεν, εἴτε ἐπαινοίη*[4] *τις αὐτὸν εἴτε ψέγοι τῶν παρόντων.* — 7. *Ὧν ἂν*[5] *τῶν ἐπαίνων καταφρονῇς, καὶ τῶν ψόγων καταφρόνει.* — 8. *Τίνες ἀποφεύγουσι τὰ κακὰ ῥᾷον ἢ*[6] *οἷς ἂν φίλοι συμμαχῶσιν;*

§ 26 a. 1. *Θαρρῶν συμβούλευε, ὅ,τι ἔχεις ἀγαθόν.* — 2. *Οὐκ ἐξαιρεῖ τὰς πονηρὰς ἐπιθυμίας ἐκ τῆς ψυχῆς τὸ*[1] *τυγχάνειν αὐτῶν, ἀλλ' αὔξει καὶ πονηροτέρας ποιεῖ.* — 3. *Φιλονεικείτω ἡμῖν πᾶς πρὸς ἀρετὴν ἀφθόνως.* — 4. *Χείλων προσέταττε μὴ ἐπιθυμεῖν ἀδυνάτων.* — 5. *Ὁ φιλάνθρωπος, ὅταν ἀνθρώπους ὠφελῇ, τότε νομίζει τὸ προσῆκον ἀποτελεῖν.* — 6. *Οὐκ ἂν ἐπαινοίην*[2] *τὸν περὶ τῶν μεγίστων εἰκῇ κινδυνεύοντα.* — 7. *Ἐν τῇ Κορίνθῳ τὸ θέρος εὔπνουν ἐστὶ διὰ τοὺς εἰσέχοντας κόλπους, ἀεί ποτε τῶν πνευμάτων ἐκεῖσε συρρεόντων.* — 8. *Μίνως ὁ*[3] *Διὸς καὶ Εὐρώπης μεγάλας δυνάμεις ἔχων πεζικάς τε καὶ ναυτικάς, ἐθαλαττοκράτει.*

---

[5] § 25. 1. [6] ergänze *αὐτά.* — **§ 26.** [1] *χρή* es ist nothwendig mit Inf. (cum Accus.); wähle eine Wendung mit müssen, wie bei oportet. [2] bleibt unübersetzt. [3] es ist möglich, sie dürfen. [4] § 25a. 3. [5] § 25. 2. [6] ergänze *ἐκεῖνοι.* — **§ 26a.** [1] Der durch den Artikel substantivierte Infinitiv ist im Deutschen durch ein Substantiv (oft auch durch einen Substantivsatz) zu geben. [2] Potentialis. § 25. 1. [3] ergänze *υἱός.*

Präsens und Imperfekt der verba contracta auf άω und όω.

§ 27. 1. Ἀτυχοῦντι μὴ ἐπιγέλα! — 2. Πεινῶσι τοῦ ἐπαίνου οὐχ ἧττον ἔνιαι τῶν φύσεων ἢ ἄλλαι τῶν σίτων τε καὶ πότων. — 3. Ῥᾷστα οἱ ἄνθρωποι τά τ' ὠφελοῦντα καὶ βλάπτοντα καταμανθάνουσιν, ὅταν ἐπὶ παραδειγμάτων ταῦτα πολλῶν ὁρῶσιν. — 4. Οἱ κολακεύοντες πολὺ χεῖρον δρῶσι τῶν διαφθειρόντων τὸ νόμισμα· οἱ μὲν γὰρ ὕποπτον ποιοῦσι τὸ νόμισμα, οἱ δὲ τὴν ἀρετὴν ἄπιστον. — 5. Διογένης οὐκ ἐζήλου τοὺς Ἀθηναίους τῆς δαπάνης καὶ πολυτελείας τῆς περὶ τὴν πόλιν. — 6. Διδάσκειν μὲν ἀνθρώπους χαλεπόν ἐστιν, ἐξαπατᾶν δὲ ῥάδιον. — 7. Σωκράτης πάντων τῶν καλῶν ἤρα καὶ πάντα τὰ αἰσχρὰ ἐξεδίωκεν. — 8. Τίς ἂν εὖ φρονῶν ἡδέως παρ' ἀνθρώποις φθονοῦσιν αὐτῷ ζῴη;[1] — 9. Αἱ φιλίαι τὰ ἤθη ζητοῦσι συνεξομοιοῦν. — 10. Οἱ χαλκόποδες ταῦροι χαλκοῦς μὲν εἶχον πόδας, πῦρ δὲ ἐκ στομάτων ἐφύσων.

§ 27a. 1. Μὴ φίλον ἐξαπάτα! — 2. Ἡ φιλία τὰ μὲν δυσχερῆ πάντα μειοῖ, τὰ δ' ἀγαθὰ πάντα αὔξει. — 3. Πᾶς τιμάτω πάσαις τιμαῖς ταῖς ἐννόμοις τοὺς ἑαυτοῦ γεννήτορας. — 4. Πυθαγόρας παρεκάλει τὴν λιτότητα ζηλοῦν. — 5. Ἡ ἱστορία μετὰ παρρησίας δηλοῦσα τὰς καλὰς πράξεις τοὺς μὲν ἀγαθοὺς κοσμεῖ, τοὺς δὲ πονηροὺς ταπεινοῖ. — 6. Ὀρφεὺς τὰ θηρία ἡμέρου διὰ τῆς ᾠδῆς. — 7. Τοῖς Ἕλλησι πρότερον δεινὸν ἐδόκει τὸ μετακινεῖν τὴν μουσικὴν καὶ κατεβόων πάντες τῶν τὰ μέλη ποικιλώτερα ποιούντων. — 8. Ἅτιν' ἂν ἐπιτιμᾷς τῷ πλησίον, σεαυτῷ ἐπιτιμῴης[1] μάλιστα. — 9. Σωκράτης ἐτίμα τοὺς θεοὺς ὡς οὐδεὶς ἄλλος. — 10. Σωκράτης τῆς γυναικὸς τὴν χαλεπότητα πρᾴως ἔφερε καὶ ἐκείνης βοώσης οὐκ ἐφρόντιζεν. — 11. Οἱ Αἰθίοπες τὰς ἀδελφὰς μάλιστα ἐτίμων.

---

§ 27. [1] Potentialis. § 25. 1. — § 27a. [1] Der Optativ ohne ἄν in einem Hauptsatze drückt einen Wunsch aus.

Futur der verba pura.

§ 28. 1. *Οὐδαμοῦ οὔτε ἡσυχαίτερον οὔτε ἀπραγμονέστερον ἄνθρωπος ἀναχωρήσει ἢ εἰς τὴν ἑαυτοῦ ψυχήν.* — 2. *Οὐκ ἀπὸ τῶν κοινῶν προσδοκᾶν χρὴ*[1] *πλουτήσειν, ἀλλ' ἀπὸ τῶν ἰδίων ἐπανορθώσειν τὰ*[2] *τῆς πόλεως.* — 3. *Ἡρακλῆς ἤριζε Λεπρέᾳ, τίς καταδειπνήσει ταῦρον πρότερος.* — 4. *Τυφλόν ἐστιν ἡ ὀργὴ καὶ οὐκ ἐάσει ὁρᾶν σε τὰ ἐκφανῆ.* — 5. *Οἱ μέτριοι οὐ φθονήσουσι τοῖς εὐτυχοῦσιν.* — 6. *Πολλὰ καὶ φύσει καὶ ἐπιστήμῃ*[3] *δεῖ τὸν εὖ στρατηγήσοντα*[4] *ἔχειν.* — 7. *Καλὸν τὸ*[5] *τῆς τύχης ἀντιπραττούσης*[6] *ἔχειν τοὺς*[7] *συναλγήσοντας.*

§ 28a. 1. *Χρηστοὶ παῖδες διὰ τοὺς γονέας ἀγαπήσουσι μᾶλλον ἀλλήλους.* — 2. *Χαίρειν ἐάσομεν ψόγον τε καὶ ἔπαινον τὸν παρὰ τῶν ἀνοήτων ἀνθρώπων.* — 3. *Οἱ φρόνιμοι τὴν ἄμπελον σῦκα φέρειν οὐκ ἀξιώσουσιν οὐδὲ τὴν ἐλαίαν βότρυς.* — 4. *Μέγιστόν ἐστι στρατηγοῦ*[1] *τινος ἀρίστου τοὺς*[2] *καλῶς πολεμήσοντας τυγχάνειν.* — 5. *Ὁ νοσῶν, ἐὰν ἀγανακτῇ, ὅτι νοσεῖ, δι' αὐτὸ τοῦτο μᾶλλον νοσήσει.* — 6. *Τὸν εὐεργετοῦντα τὴν ψυχὴν ὡς ὑπηρέτην θεοῦ μετὰ θεὸν τιμήσομεν.*

Aorist der verba pura.

§ 29. 1. *Αἱ ἐπιθυμίαι χαλεπῶς ἄρχουσι τῶν ἀνθρώπων, ὧν ἂν ἐπικρατήσωσιν.* — 2. *Ὅμηρος τὰ τοῦ Ἀλκίνου βασίλεια διεκόσμησεν οὐ μόνον κήποις καὶ φυτοῖς καὶ ὕδασιν ἀλλὰ καὶ ἀγάλμασι χρυσοῖς.* — 3. *Οὐκ ἔστιν ἀνδρὶ ἀγαθῷ κακὸν οὐδὲν*[1] *οὔτε ζῶντι οὔτε τελευτήσαντι.* — 4. *Φασὶ Κάστορα καὶ Πολυδεύκη συστρατεῦσαι τοῖς Ἀργοναύταις ἐπιφανέστατα.* — 5. *Οἱ πολλοί, ἃ ἂν ἀκούσωσιν ἡδέως τινὸς λέγοντος, ταῦτα καὶ ἀληθῆ νομίζουσιν.* — 6. *Φιλόξενος πρὸς μειράκιον ἐρυθριᾶσαν ἔφη*

---

§ 28. [1] § 26. 1. [2] *τά, τό* mit einem Genetiv dient oft nur zur Umschreibung eines Begriffes; so ist hier *τὰ τῆς πόλεως = τὴν πόλιν.* [3] in welcher Beziehung? von welcher Seite her? [4] einer, der — soll. [5] *τὸ* hebt den Infinitiv *ἔχειν* als Subjekt hervor, bleibt aber unübersetzt. [6] Gen. absol. [7] solche, die — werden. — § 28a. [1] von *τυγχάνειν* abhängig. [2] die, welche — wollen (Subjektsakkusativ). — § 29. [1] Mehrere Negationen im nämlichen Satze bilden nur dann eine Bejahung, wenn *οὐ* oder *μή* von ihnen die letzte Stellung einnimmt.

„θάρρει, τοιοῦτον γὰρ ἡ ἀρετὴ ἔχει τὸ[2] χρῶμα." — 7. Σύλλας τοῦ Πειραιῶς κρατήσας τὰ πλεῖστα κατέκαυσεν. — 8. Μῆδος, ὁ[3] Αἰγέως καὶ Μηδείας πολλῶν κρατήσας βαρβάρων τὴν ὑφ' ἑαυτὸν[4] χώραν Μηδίαν ἐκάλεσεν. — 9. Ὁ ἀπ' ὀλίγων περιποιῶν[5] ἀπὸ πολλῶν ἂν πάνυ ῥᾳδίως πολλὴν περιουσίαν ποιήσειεν[6].

§ 29a. 1. Χρὴ τοὺς πλημμελήσαντάς τι ἐλεεῖν, νουθετεῖν, παιδεύειν. — 2. Οὐδείς ἐστιν οὕτως ἀσθένης, ὃς οὐκ[1] ἐλύπησεν[2] ἐπὶ καιροῦ καὶ τὸν ἄγαν δοκοῦντα ἰσχυρόν. — 3. Φρονήσῃς[3] μὲν μηδέποτε ἐπὶ σεαυτῷ μέγα, ἀλλὰ μηδὲ καταφρονήσῃς σεαυτοῦ. — 4. Χρὴ τοὺς νοῦν ἔχοντας τοιούτους εἶναι κριτὰς τοῖς ἄλλοις, οἵων περ ἂν αὐτοὶ τυγχάνειν ἀξιώσειαν[4]. — 5. Κέκροψ αὐτόχθων, συμφυὲς ἔχων σῶμα ἀνδρὸς καὶ δράκοντος, τῆς Ἀττικῆς ἐβασίλευσε πρῶτος. — 6. Πρὸς[5] ὑγίειαν τὸ σῶμα, μὴ πρὸς τρυφὴν θεράπευσον. — 7. Ἱππίας ὁ Ἠλεῖος ἀξιῶσαι λέγεται[6] σοφώτατος εἶναι τῶν Ἑλλήνων. — 8. Ἡρακλέα οὐκ ἐφόβησεν ὁ περὶ τὸν Ἐρύμανθον κάπρος. — 9. Οἱ Ἄρταβροι, εὐδαίμονος τῆς χώρας ὑπαρχούσης[7] κατά τε καρποὺς καὶ βοσκήματα, ὅμως ἐν ληστηρίοις διετέλεσαν.

Perfekt der verba pura.

§ 30. 1. Οἱ Ῥωμαῖοι Καίσαρα ἐμίσουν ὡς ὑπερήφανον, ὃν αὐτοὶ ταῖς ὑπερβολαῖς[1] τῶν τιμῶν ὑπέρφρονα ἐπεποιήκεσαν. — 2. Ἀγησίλαος ἐνόμιζε τοὺς μὲν καλῶς ζῶντας οὔπω εὐδαίμονας, τοὺς δὲ εὐκλεῶς τετελευτηκότας ἤδη μακαρίους. — 3. Ἱέρων ὁ Συρακούσιος ἔτη πεντήκοντα καὶ τέσσαρα βασιλεύσας διατετήρηκε τῇ πατρίδι τὴν εἰρήνην. — 4. Σκιαί εἰσιν ὄντως αἱ φιλίαι καὶ μιμήματα τῆς πρώτης ἐκείνης, ἣν παισί τε πρὸς γονεῖς ἡ φύσις, ἀδελφοῖς τε πρὸς ἀδελφοὺς ἐμπεποίηκεν. — 5. Τετελεκότος Ἡρακλέους τοὺς ἄθλους[2] ὁ θεὸς ἔχρησε συμφέρειν πρὸ τῆς εἰς θεοὺς

---

[2] im Deutschen der unbestimmte Artikel. [3] ergänze υἱός. [4] das von ihm unterworfene. [5] durch einen Substantivsatz mit wer aufzulösen. [6] Potentialis. § 25. 1. — **§ 29a.** [1] daß er nicht. [2] Bei allgemeinen Aussprüchen wird das, was immer zu geschehen pflegt, oft im Indik. Aor. als einzelner Fall aufgeführt (gnomischer Aorist). [3] im Deutschen der Imperativ. [4] Potentialis. § 25. 1. [5] bis zur. [6] soll, dicitur. [7] Gen. absol. mit obschon aufzulösen. — **§ 30.** [1] wodurch? [2] die ihm Eurystheus aufgetragen.

μεταλλαγῆς ἀποικίαν εἰς Σαρδὼ πέμψαι. — 6. Ξενοφῶν φησι τὸν Ὅμηρον πεποιηκέναι σχεδὸν περὶ πάντων τῶν ἀνθρωπίνων.

§ 30a. 1. Οἱ Αἰγύπτιοι τὰς μὲν τῶν ζώντων οἰκήσεις καταλύσεις ὠνόμαζον, τοὺς δὲ τῶν τετελευτηκότων τάφους ἀιδίους οἴκους προσηγόρευον. — 2. Λέγουσι Κάστορα καὶ Πολυδεύκη πολλοῖς βεβοηθηκέναι παρὰ λόγον[1] κινδυνεύουσιν. — 3. Δερβίκκαι τοὺς ὑπὲρ ἑβδομήκοντα ἔτη βεβιωκότας ἀπέκτεινον, τοὺς μὲν ἄνδρας καταθύοντες, ἀπάγχοντες δὲ τὰς γυναῖκας. — 4. Σωκράτης ἠσκήκει ἑαυτὸν μάλιστα πάντων ἀνθρώπων πρὸς[2] ἀρετήν. — 5. Τὸν Τεῦκρον Ὅμηρος πεποίηκεν ἀπὸ τῆς τοξικῆς εὐδοκιμοῦντα, τοῦ ἀδελφοῦ[3] πρωτεύοντος[4] ἐν τοῖς ὁπλίταις. — 6. Καλλίας ὁ[5] Ἱππονίκου τετέλεκε χρήματα σοφισταῖς πλείω ἢ σύμπαντες οἱ ἄλλοι. — 7. Οἱ Κρῆτες στρατοπέδου[6] πολιτείαν εἶχον, ἀλλ᾽ οὐκ ἐν ἄστεσι κατῳκηκότων[6].

Futur und 1. Aorist der verba muta.

§ 31. 1. Καλὸν κρίνω τὸ[1] τὴν αὑτοῦ ψυχὴν ἀνάλωτον κατασκευάσαι καὶ ὑπὸ χρημάτων καὶ ὑπὸ ἡδονῶν καὶ ὑπὸ φόβου. — 2. Ἀλέξανδρος τὸν Ἀγαμέμνονα οὐκ ἐμακάριζεν· ἤλπιζε γὰρ πολὺ πλειόνων ἄρξειν. — 3. Ἵππαρχος τὰ Ὁμήρου ἔπη πρῶτος ἐκόμισεν εἰς Ἀθήνας. — 4. Ῥώμη μετὰ μὲν φρονήσεως ὠφέλησεν[2], ἄνευ δὲ ταύτης πλείω τοὺς ἔχοντας ἔβλαψεν[2]. — 5. Μήποτέ τις ἐμὲ τῶν δοκούντων παρὰ τὴν ἀξίαν εὖ πράσσειν ἐκπλήξειε[3] μηδὲ ἀνιάσειεν. — 6. Δεινή ἐστι καὶ δουλῶσαι καὶ σωφρονίσαι φρόνημα γενναῖον εὔλογος φιλανθρωπία. — 7. Τοῖς παρακαταθήκην τινὰ μὴ φυλάξασιν οὐδεὶς ἂν οὐδὲν[4] ἔτι τῶν ἑαυτοῦ πιστεύσειεν[5]. — 8. Ἱκανὴ ἡ λύπη ἀναπλάσαι κακὰ διπλάσια τῆς ἀληθείας[6].

§ 31a. 1. Πρὸς ἁπάσας τὰς τοῦ βίου περιστάσεις χρησιμωτάτην ἄν τις εἶναι νομίσειεν[1] τὴν τῆς ἱστορίας ἀνάληψιν. — 2. Λέγουσι Δαναὸν συνοικίσαι τὴν ἀρχαιοτάτην σχεδὸν τῶν παρ᾽

---

§ 30a. [1] gegen die Berechnung = unerwartet. [2] in. [3] Ajax. [4] mit während aufzulösen. [5] ergänze *υἱός*. [6] passend für. — **§ 31.** [1] *τό* hebt den Inf. als Objekt hervor, bleibt aber unübersetzt. [2] gnomischer Aorist; siehe § 29a. 2. [3] § 27a. 1. [4] § 29. 1. [5] Potentialis. § 25. 1. [6] als die Wirklichkeit. — **§ 31a.** [1] Potentialis. § 25. 1.

Ἕλλησι πόλεων, Ἄργος. — 3. Τοὺς μὲν ἄφρονας ὁ χρόνος, τοὺς δὲ φρονίμους ὁ λόγος τῆς λύπης ἀπαλλάξει. — 4. Ἔχθρα μᾶλλον ἂν τοῖς δυνατοῖς παρὰ τῶν διαμαρτανόντων ὧν χρήζουσιν, ἢ φιλία παρὰ τῶν τυγχανόντων ὑπάρξειεν. — 5. Ὅμηρος οὐδαμοῦ[2] τῆς[3] ποιήσεως ὠνόμασεν ἑαυτόν. — 6. Οὐκ ἂν τοῖς χρήστοις οἱ πονηροί ποτε συναρμόσειαν πρὸς φιλίαν. — 7. Ξέρξης, ὡς ἧκεν εἰς Σάρδεις, κήρυκας ἐξέπεμψεν εἰς τὴν Ἑλλάδα, προστάξας τοὺς Ἕλληνας αἰτεῖν ὕδωρ καὶ γῆν.

Erstes Perfekt und Plusquamperfekt der verba muta.

§ 32. 1. Ὦ Τύρταιε, ποιητὰ θειότατε· δοκεῖς σοφὸς ἡμῖν εἶναι καὶ ἀγαθός, ὅτι τοὺς ἐν τῷ πολέμῳ διαφέροντας διαφερόντως ἐγκεκωμίακας. — 2. Ὅστις κακὸς ὢν[1] ὑπολαμβάνει ποτὲ τοὺς θεοὺς ἀρέσκειν, ἢ ἀνόητον ἢ πονηρὸν νενόμικε[2] τὸ θεῖον. — 3. Τὰ μὲν ἄλλα ζῷα πάντα κάτω κέκυφε καὶ ἐς τὴν γῆν ἀεὶ βλέπει, μόνοι δὲ ἡμεῖς ἄνω τε ὁρῶμεν καὶ τῷ οὐρανῷ αὐτῷ ὁμιλοῦμεν. — 4. Οἱ πολλοὶ οὐδὲν πεφροντίκασιν[2], ὁποίους χρὴ εἶναι. — 5. Δαρεῖος[3] ἱππέας πρὸ τοῦ Πινάρου ποταμοῦ προτετάχει. — 6. Μετὰ τὴν ἐν Τροίᾳ στρατείαν μέχρι τῆς ἐν Μαραθῶνι μάχης ἐλλόγιμον οὐδὲν οἱ Ἕλληνες πεπράχασιν. — 7. Ὁ πανταχόθεν τὰ χρήσιμα συνειλοχὼς οὐκ ἀπορήσει.

§ 32a. 1. Ὁ ἀληθείᾳ[1] βασιλεὺς τὴν τῶν ἀνθρώπων ἐπιμέλειαν οὐ πάρεργον οὐδὲ ἀσχολίαν ἄλλως νενόμικεν[2], ἀλλὰ ἔργον αὐτοῦ καὶ τέχνην ταύτην[3]. — 2. Ἄπορόν μοι δοκεῖ εἶναι, ὅτι οἱ ἄνθρωποι ἄλλα μὲν ἐπαινοῦσι καὶ θαυμάζουσι, περὶ δ᾽ ἄλλα ἐσπουδάκασιν[2]. — 3. Κορίσκος, εὖ μάλα γέρων ὤν, ὡς ἀπό τινος χαλεπῆς ἀρρωστίας ἀνελάμβανεν ἑαυτόν „ὡς ἀηδῶς, ἔφη, ἀνέστροφα, ἤδη πολὺ τῆς ὁδοῦ κεκοφώς[4], ἣν δεῖ πάντως βαδίζειν. — 4. Σωκράτης ἐπῄνει τὸν Περσῶν βασιλέα, ὅτι ἐξ

---

[2] Adverbien des Raumes können einen Genet. zu sich nehmen: nirgends in. [3] im Deutschen das Possessiv. — **§ 32.** [1] obgleich er — ist. [2] Von einigen Verben erscheint das Perfekt als eine Verstärkung des Präsens, z. B. *τεθαύμακα* ich bin von Bewunderung erfüllt worden = ich bewundere. [3] Darius Codomannus in der Schlacht bei Issus. — **§ 32a.** [1] in Wahrheit, hier statt des Adj. *ἀληθής*. [2] § 32. 2. [3] *ταύτην* (nämlich *ἐπιμέλειαν*) ist Obj., zu dem *ἔργον* und *τέχνην* als Prädikate treten. [4] mit nachdem aufzulösen.

ὅσωνπερ ἐθνῶν[5] δασμοὺς λαμβάνει, τέταχε τῷ ἄρχοντι ἑκάστῳ, εἰς ὁπόσους δεῖ παρέχειν τροφὴν ἱππέας καὶ τοξότας καὶ σφενδονήτας.

Futur, 1. Aorist und 1. Perfekt der verba liquida.

§ 33. 1. Δυσχεραινοῦμεν τὰς αἰσχρὰς ἡδονάς, ἐὰν τὰς βλάβας τὰς ἀπ' αὐτῶν τῷ λόγῳ[1] κατανοήσωμεν. — 2. Σεσόωσις εἰς τὴν ἐρυθρὰν θάλασσαν[2] ἀπέστειλε στόλον νεῶν τετρακοσίων. — 3. Χαλεπόν ἐστι διακρῖναι τὸν κόλακα καὶ τὸν φίλον. — 4. Ἀποδημία δεσπότου ἱκανὴ διαφθεῖραι καὶ τὴν μεγίστην οὐσίαν. — 5. Μεσσήνιοι ἐπιβουλεύσαντες ἀπέκτειναν Κρεσφόντην τὸν οἰκιστὴν τῆς πόλεως. — 6. Κρεῖττόν που μικρὰ εὖ ἢ πολλὰ μὴ ἱκανῶς περᾶναι. — 7. Οἱ αἰσχροκερδεῖς οὐδὲν ἀποφεύγουσιν, ὅθεν ἂν δυνατὸν ᾖ τι κερδᾶναι. — 8. Φίλιππος πρὸς τὸν υἱὸν ἐπιπρεπῶς ἔν τινι πότῳ ψήλαντι εἶπεν „Οὐ πρέπει σε οὕτω ψάλλειν“[3]. — 9. Τοὺς ὑβρίζοντας εἰς τοὺς εὐεργέτας οὐδεὶς κέκρικε χάριτος ἀξίους. — 10. Χαλεπῶς[4] ὁ δῆμος εἶχε[4] τῷ θανάτῳ τοῦ Τιβερίου Γράκχου· τὸν Νασικᾶν οἱ ἄνθρωποι ἐναγῆ καὶ τύραννον καὶ μεμιαγκότα φόνῳ σώματος ἀσύλου τὸ ἁγιώτατον τῶν ἱερῶν[5] ἀπεκάλουν.

§ 33a. 1. Τίς παρὰ παίδων χάρις γονέας μᾶλλον εὐφρανεῖ τῆς πρὸς ἀλλήλων εὐνοίας; — 2. Δέκα ἔτη που μείναντες Ἀχαιοὶ τὴν Τροίαν ἀνάστατον ἐποίησαν. — 3. Μίνως πολλὰς ἀποικίας ἀπέστειλεν ἐκ τῆς Κρήτης. — 4. Σωκράτης μέλλων ἀποθνήσκειν ἐκάθευδε βαθέως, ὥστε μόλις διεγεῖραί[1] τινα. — 5. Ῥωμαῖοι κρατήσαντες Καρχηδονίων ἐπὶ τὰ λοιπὰ τὰς χεῖρας ἐξέτειναν. — 6. Ποσειδῶν πλήξας τῇ τριαίνῃ μέσην τὴν ἀκρόπολιν ἀνέφηνε θάλασσαν, ἣν ὕστερον Ἐρεχθηΐδα ἐκάλουν. — 7. Πάντες οἱ παλαιοὶ τὰ[2] περὶ θεῶν δι' αἰνιγμάτων ἐσήμηναν. — 8. Δείναρχος ἔλεγεν· Δημοσθένη πᾶσα ἡ ἐξ Ἀρείου πάγου βουλὴ ζητήσασα

---

[5] ἐθνῶν ist aus dem übergeordneten Satz in den Relativsatz hineingezogen für: τῷ ἄρχοντι ἑκάστῳ τῶν ἐθνῶν, ἐξ ὅσωνπερ. — § 33. [1] womit? [2] das persische Meer. [3] er wollte andeuten, daß dem Alexander sein hoher Beruf nicht Zeit lasse, sich mit solchen Künsten eingehend zu beschäftigen. [4] war erbittert über (Dativ). [5] Tib. Gracchus wurde auf dem Kapitol erschlagen. — § 33a. ergänze αὐτόν. [2] das, was — betraf.

ἀποπέφαγκε χρήματα ἔχειν[3] κατὰ τῆς πόλεως. — 9. Ὁ συκοφάντης, ὥσπερ ἔχις ἢ σκορπίος, ἠρκὼς τὸ κέντρον, ᾄττων δεῦρο κἀκεῖσε, σκοπεῖ, τίνι συμφορὰν ἢ βλασφημίαν ἢ κακόν τι ἐπιφέρει.

Zweites Perfekt und Plusquamperfekt.

§ 34. 1. Ἔοικεν μέγα τι εἶναι ἡ τιμή, ἧς[1] ἐπιθυμοῦντες οἱ ἄνθρωποι πάντα κίνδυνον ὑπομένουσιν. — 2. Ὁ χρόνος πάντα πεπαίνειν εἴωθεν. — 3. Ὅστις τοῦ ζῆν ἡμῶν καὶ τοῦ φρονεῖν μάλιστά ἐστι κεδημών, ἐγρήγορε χρόνον τὸν πλεῖστον. — 4. Οὐ δυνατὸν ἄλλῳ τινὶ πεποιθέναι μᾶλλον τὸν δίκαιον ἄνδρα καὶ ἀγαθὸν ἢ τοῖς δικαιοτάτοις τε καὶ ἀρίστοις θεοῖς. — 5. Ἡ περὶ ἐργασιῶν καὶ τεχνῶν σκέψις τοῖς μετρίοις ἀξία πέφηνε πολλῆς καὶ πάνυ ἀκριβοῦς θεωρίας. — 6. Πᾶς ὁ παρὰ λόγον[2] θαρρῶν καὶ δεδιέναι ἀλόγως πέφυκεν. — 7. Χαλεπὸν μὲν τὸ διδάσκειν, τῷ[3] δὲ παντὶ χαλεπώτερον τὸ μεταδιδάσκειν, ἄλλως τε καὶ ὅταν πολύν τινες χρόνον ὦσι τὰ ψεύδη ἀκηκοότες. — 8. Τῶν ἀνθρώπων ἔνιοι τὴν ἰδίαν διάνοιαν λελήθασι συμφορῶν αἰτίαν ἔχοντες[4].

§ 34a. 1. Οὐ δεῖ πεποιθέναι ταῖς ἀνθρωπίναις εὐπραξίαις ἐν μικρᾷ ῥοπῇ μεγάλας μεταβολὰς λαμβανούσαις[1]. — 2. Διογένης εἰώθει ἐπισκοπεῖν ἐν ταῖς πανηγύρεσι τὰς σπουδὰς τῶν ἀνθρώπων καὶ τὰς ἐπιθυμίας. — 3. Αἰμίλιος Παῦλος τὸ[2] καλακεύειν τοὺς στρατιώτας αἴσχιον ἐνόμιζε τοῦ δεδιέναι[3] τοὺς πολεμίους. — 4. Τοὺς φρονίμους τῶν ἀνθρώπων αἱ τῶν πονηρῶν τέχναι οὐ λελήθασιν. — 5. Τὰ[4] ἐν τῷ ἐγρηγορέναι σαφεστέρας ἡμῖν τὰς[5] αἰσθήσεις παρέχει ἢ τὰ ἐν ὕπνῳ. — 6. Ἀντώνιος πάντα τὰ πάτρια τοῦ βίου ἔθη ἐκλελοιπὼς τὰ τῶν Αἰγυπτίων ἐζήλωσεν. — 7. Κινδυνεύουσιν οἱ θηρῶντες τοὺς μαργαρίτας, ὅταν εἰς κεχηνότα κόγχον εὐθὺς ἐκτείνωσι τὴν χεῖρα. — 8. Οἱ δειλοὶ τὸν θάνατον ὡς ἐσχάτην συμφορὰν πεφρίκασιν.

---

[3] empfangen zu haben (von Bestechung). — **§ 34.** [1] statt des Relativsatzes ein Causalsatz. [2] gegen die Berechnung, ohne Grund. [3] *τῷ παντὶ* höchste Gradbestimmung beim Komparativ: „unendlich". [4] statt des Particips im Deutschen ein Substantivsatz mit daß. — **§ 34a.** [1] mit da ja aufzulösen. [2] *τό* hebt den Inf. als Obj. hervor, bleibt aber unübersetzt. [3] Genet. comparationis. [4] *τὰ* die Erlebnisse. [5] unübersetzt.

Zweiter Aorist.

§ 35. 1. Ἄνθρωπος ὢν οὐδεὶς ἄλυπος τὸν βίον διήγαγεν, οὐδὲ μέχρι τέλους ἔμεινεν εὐτυχῶν. — 2. Οἱ παλαιοὶ Ἀθηναῖοι ὑπὲρ τῆς τῶν ἄλλων σωτηρίας τήν τε πατρίδα τὴν ἑαυτῶν ἐκλιπεῖν ἐτόλμησαν, καὶ ναυμαχοῦντες τοὺς βαρβάρους ἐνίκησαν. — 3. Ἀδύνατον ὡς ἔοικε τἀληθὲς[1] λαθεῖν. — 4. Περικλέα εἰς τὴν Ἀκρόπολιν ἀναγαγεῖν λέγουσιν ὀκτακισχίλια τάλαντα. — 5. Οἱ Ἕλληνες ἐν τῇ περὶ Ἀρτεμίσιον ναυμαχίᾳ πολλὰς μὲν ναῦς τῶν Περσῶν κατέδυσαν, οὐκ ὀλίγας δὲ φυγεῖν ἀναγκάσαντες μέχρι τῆς γῆς κατεδίωξαν. — 5. Σωκράτης οὐδένα πώποτε ἀνθρώπων οὔτε ἀγαθῶν ἀπεστέρησεν, οὔτε κακοῖς περιέβαλεν. — 7. Οἱ Πέρσαι εἰς τὴν Ἀττικὴν ἐμβαλόντες τὴν μὲν χώραν ἐδῄωσαν, τὰς δὲ Ἀθήνας κατέσκαψαν.

§ 35a. 1. Τὴν μοῖραν οὐκ ἔστι[1] φυγεῖν. — 2. Ἀλέξανδρος Θήβας πορθῶν μόνην κατέλιπε τὴν οἰκίαν τὴν Πινδάρου, κελεύσας ἐπιγράψαι „Πινδάρου τοῦ μουσοποιοῦ τὴν στέγην μὴ κάετε“. — 3. Ὁ πλοῦτος ἔθρυψεν[2] πολλάκις καὶ τὰς ὑγιεινὰς φύσεις καὶ περιήγαγεν εἰς ἀσθένειαν ἐξ ἐθῶν πολυτελῶν. — 4. Ἡρακλεῖ Εὐρυσθεὺς προσέταττε τὸν Κέρβερον ἀναγαγεῖν. — 5. Ἀνάγκη τὴν ἀκρασίαν εἰς ἀφροσύνην τοὺς ἀνθρώπους ἐμβαλεῖν. — 6. Ἐν τῇ ἐπὶ τῷ Γρανικῷ μάχῃ οἱ Πέρσαι ἔφυγον ταύτῃ[3] πρῶτον, ᾗ Ἀλέξανδρος προεκινδύνευεν. — 7. Ἀλέξανδρος συναγαγὼν τοὺς Ἕλληνας, ὅσοι ἐντὸς Πελοποννήσου ἦσαν, ᾔτει παρ' αὐτῶν τὴν ἡγεμονίαν τῆς ἐπὶ τοὺς Πέρσας στρατιᾶς. — 8. Οἱ Ἕλληνες ἀνακραγόντες ἔθεον ἐπὶ τοὺς βαρβάρους ἐν τῇ Μαραθῶνι[4] μάχῃ.

Passiv und Medium.

Präsens und Imperfekt.

§ 36. 1. Ὁ κόλαξ ἐμοὶ δοκεῖ ἀπεχθάνεσθαι μᾶλλον ἢ χαρίζεσθαι τοῖς μὴ τελέως κούφοις. — 2. Πείθεται πᾶς ἥδιον ἢ

---

§ 35. [1] S. Gr. § 8. 1. — **§ 35a.** [1] es ist unmöglich. [2] gnomischer Aorist. § 29a. 2. [3] auf der Seite. [4] auf die Frage: wo?

βιάζεται. — 3. Οἱ πολλοὶ ῥᾷον ἐπεξέρχονται τοῖς τι λυπήσασί σφας ἢ ἀνθυπουργοῦσι τοῖς εὖ ποιήσασιν. — 4. Ἐκεῖνον ἀθλιώτατον ἐγὼ κρίνοιμι ἄν[1] δικαίως, ὃς ἐν μὲν ταῖς συμφοραῖς πλείστους ἔχει τοὺς ἐφηδομένους, ἐν δὲ ταῖς εὐτυχίαις οὐδένα τὸν συνηδόμενον. — 5. Σαλμωνεὺς τὰς αὑτοῦ πράξεις ὑπερέχειν τῶν τοῦ Διὸς[2] ἀπεφαίνετο. — 6. Πυθαγόρας πάντων τῶν ζῴων τὰς ψυχὰς μετὰ θάνατον εἰς ἕτερα ζῷα ἔλεγεν εἰσέρχεσθαι. — 7. Ἐσθῆτα μὲν οὐδεὶς βούλεται μείζω τοῦ σώματος· οὐσίαν δὲ τῷ παντὶ[3] μείζω τῆς χρείας ἔχειν ἅπαντες ἐπιθυμοῦσιν. — 8. Οἱ Λακεδαιμόνιοι γέροντας ᾐσχύνοντο οὐδὲν ἧττον ἢ πατέρας. — 9. Ἀγησίλαος ἐκαλλωπίζετο, τῇ μὲν ἀμφὶ τὸ σῶμα φαυλότητι, τῷ δ' ἀμφὶ τὸ στράτευμα κόσμῳ.

§ 36a. 1. Τῶν σωμάτων θηλυνομένων[1] καὶ αἱ ψυχαὶ πολὺ ἀρρωστεραι γίγνονται. — 2. Τίς[2] τοῖς ἐργαζομένοις πλείω τέχνη γεωργίας ἀντιχαρίζεται. — 3. Τοῖς Κρησὶν ὁ νομοθέτης μόνοις Ἑλλήνων καὶ βαρβάρων, ὧν ἡμεῖς πυνθανόμεθα, τῶν μεγίστων ἡδονῶν καὶ παιδιῶν ἐπέταξεν ἀπέχεσθαι. — 4. Αἱ ἐπιθυμίαι προσαγόμεναι τοὺς ἀνοήτους ἀπάτῃ[3] καὶ γοητείᾳ διαφθείρουσιν[4] ἐλεεινότατα. — 5. Μήτε γέλωτα προπετῆ στέργε μήτε λόγον μετὰ θράσους ἀποδέχου. — 6. Εἰ βούλει ἀγαθὸς εἶναι πρῶτον πίστευσον ὅτι κακὸς εἶ. — 7. Ὅταν βούληται θεὸς εὖ πρᾶξαι πόλιν, ἄνδρας ἀγαθοὺς ἐνεποίησεν[5]. — 8. Οἱ Θετταλοὶ εὐδόκιμοι ἦσαν ἐν τοῖς Ἕλλησι καὶ ἐθαυμάζοντο ἐφ' ἱππικῇ. — 9. Βάσανον τῆς ἀληθείας εἶναι χρὴ νομίζειν, ὅταν τοῖς λόγοις καὶ τὰ ἔργα ἕπηται.

§ 37. 1. Τίς ἂν μέτριος ἄνθρωπος βούλοιτο[1] ἕτερον κακῶς πάσχειν δι' αὐτόν; — 2. Τῶν φίλων μὴ τοὺς δυνατωτάτους ἀλλὰ τοὺς προθυμοτάτους μάλιστα ἀσπάζου. — 3. Ἅπαντες φειδέσθων τῆς γλώττης· πολλάκις γὰρ προφέρει, ἃ ἄμεινον[2] κρύπτεσθαι. — 4. Τῶν μὲν φίλων τὸν φόγον, τῶν δὲ ἐχθρῶν τὴν ἐπιβουλὴν φυλάττοιο[3]. — 5. Αἱ φιλότιμοι τῶν φύσεων ἐπαίνοις παροξύνονται. — 6. Ἀγησίλαος ἱκέτας θεῶν οὐδὲ ἐχθροὺς ἐβιά-

---

§ 36. [1] Potentialis. § 25. 1. [2] ergänze *πράξεων*. [3] § 34. 3. — **§ 36a.** [1] Gen. absol., mit wenn aufzulösen. [2] verbinde *τίς τέχνη*. [3] wodurch? [4] ergänze *αὐτούς*. [5] gnomischer Aorist. § 29a. 2. — **§ 37.** [1] Potentialis. § 25. 1. [2] ergänze *ἐστίν*. [3] § 27a. 1.

ζετο. — 7. Τῷ[4] ἄν τις βούλοιτο μᾶλλον φίλος εἶναι ἢ τῷ νομίμῳ, ἢ τῷ ἧττον ἐχθρός; — 8. Σωκράτης περὶ τῶν ἀνθρωπείων ἀεὶ διελέγετο, σκοπῶν, τί εὐσεβές, τί ἀσεβές, τί καλόν, τί αἰσχρόν, τί δίκαιον, τί ἄδικον. — 9. Ἀχάριστος ἄνθρωπος μὴ νομιζέσθω φίλος.

§ 37a. 1. Τοὺς σπουδαίους ὄντας περὶ τοὺς εὐεργέτας βούλοιτ' ἂν[1] ἕκαστος ὠφελεῖν κατὰ τὴν ἑαυτοῦ δύναμιν. — 2. Μὴ οἴεσθε τοὺς κριοὺς καὶ τὰς ἄλλας μηχανὰς οὕτως ἀνατρέπειν τὰς πόλεις, ὡς τρυφήν. — 3. Ἐπειδὴ οὐ γίγνεται τὰ πράγματα ὡς βουλόμεθα, δεῖ βούλεσθαι ὡς γίγνεται. — 4. Τὰ ἀφανῆ τοῖς φανεροῖς[2] τεκμαίρου. — 5. Παρὰ Λακεδαιμονίοις ἐμακαρίζοντο μᾶλλον οἱ γενναίως ἀποθνήσκοντες ἢ οἱ εὐτυχῶς ζῶντες. — 6. Ἀγησίλαος ἱερὰ καὶ τὰ ἐν πολεμίοις ἐσέβετο. — 7. Οἱ Ῥωμαῖοι ἐβούλοντο εἰς τὴν Λιβύην πλεῖν, ἵνα τοῖς Καρχηδονίοις περὶ τῆς ἰδίας χώρας ὁ κίνδυνος γίγνηται. — 8. Μᾶλλον ἀποδέχοιο[3] δικαίαν πενίαν ἢ πλοῦτον ἄδικον. — 9. Ἕκαστος ἁπλῶς τὴν ἑαυτοῦ γνώμην ἀποφαινέσθω.

Präsens und Imperfekt der verba contracta.

§ 38. 1. Ἡδέως ἐπαινόμεθα ὑπὸ τῶν καὶ ψέγειν ἐθελόντων. — 2. Πολλὰ ὁ ἐχθρὸς αἰσθάνεται τοῦ φίλου μᾶλλον· τυφλοῦται γὰρ ὁ φιλῶν περὶ τὸν φιλούμενον. — 3. Τὸ ἡττᾶσθαι καλόν, ἐν οἷς[1] τὸ νικᾶν βλαβερόν. — 4. Τὸ ψεύδεσθαι δουλοπρεπὲς καὶ πᾶσιν ἀνθρώποις[2] μισεῖσθαι ἄξιον. — 5. Οἱ παῖδες χαυνοῦνται ταῖς ὑπερβολαῖς[3] τῶν ἐπαίνων καὶ θρύπτονται. — 6. Ὅταν ἐπιστήμαις ἢ λόγῳ ἐναντιῶται, τοῖς φύσει[4] ἀρχικοῖς, ἡ ψυχή, τοῦτο ἄνοιαν προσαγορεύω. — 7. Περιχάρειαν πᾶσαν ἀποκρυπτόμενοι καὶ περιωδυνίαν, εὐσχημονεῖν πειρᾶσθε! — 8. Δεῖ πρὸς τὰς ἐπιθυμίας οὐχ ἧττον διαμάχεσθαι περὶ τῆς ἐλευθερίας ἢ πρὸς τοὺς σὺν ὅπλοις πειρωμένους καταδουλοῦσθαι. — 9. Οὐ τὴν ἀφροσύνην ἡγεῖ μεγίστην βλάβην τοῖς ἔχουσι;

---

[4] Gramm. § 91. — § 37a. [1] Potentialis. [2] woraus? wornach? [3] § 27a. 1. — § 38. [1] ἐν τούτοις, ἐν οἷς. [2] von welcher Seite? [3] wodurch? [4] von Natur, naturgemäß.

§ 38a. 1. Χείλων προσέταττε ζημίαν μᾶλλον αἱρεῖσθαι ἢ κέρδος αἰσχρόν· ἡ μὲν γὰρ ἅπαξ ἐλύπησε[1], τὸ δὲ διὰ παντός. — 2. Θυμούμενον μὴ ἐρέθιζε. — 3. Σωκράτης ἐκέλευε πειρᾶσθαι σὺν τοῖς θεοῖς ἄρχεσθαι παντὸς ἔργου. — 4. Εὐδαίμονες εἶναι προθυμούμεθα πάντες. — 5. Ἡδὺ ὅραμα χώρα οἰκουμένη καὶ ἐνεργός. — 6. Ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις. — 7. Κόλαζε τὰ πάθη, μὴ ὑπ' αὐτῶν τιμωρῇ. — 8. Οἱ ἀλαζόνες, ὅταν τι ψεύδωνται, ἀόριστα καὶ ἀσαφῆ πειρῶνται λέγειν, φοβούμενοι τὸν ἔλεγχον. — 9. Ὁ μοχθηρὸς τοὺς μὲν ὁμοίως αὐτῷ πονηροὺς ὄντας ὑφορᾶται, ὑπὸ δὲ τῶν ἀνομοίων καὶ ἀγαθῶν μισεῖται.

§ 39. 1. Πάντας πειρῶ νικᾶν εὖ ποιῶν[1]. — 2. Πᾶν τὸ ὑπεραῖρόν τινας καὶ ζηλοῦται καὶ φθονεῖται. — 3. Οἱ Πυθαγόρειοι τῆς μνήμης μεγίστην γυμνασίαν ἐποιοῦντο. — 4. Ὑπὲρ τῶν πλαγκτῶν πετρῶν φλὸξ πολλὴ καὶ καπνός ἀναφερόμενος ἑωρᾶτο. — 5. Οἱ ἄνθρωποι ἐξαπατῶνται οὐ μόνον ὑπὸ τῶν ἄλλων, ἀλλὰ καὶ αὐτοὶ ὑφ' ἑαυτῶν. — 6. Μεγάλην ὠφέλειαν ἡγοῦμαι τὸ[2] συνεχῶς παρακαλεῖν πρὸς τὸ πείθεσθαι. — 7. Μὴ ἡγεῖσθε πᾶσαν εἰρήνην κρείττω πολέμου. — 8. Διογένης λιμῷ ἐχρῆτο καὶ δίψει πρὸ τοῦ δείπνου ἑκάστοτε. — 9. Ὁ ὑπὸ τῶν πολιτῶν ἀγαπώμενος τί ἂν ἔτι δέοιτο[3] εἰκόνων καὶ προεδριῶν; — 10. Ἔχει τι πικρὸν ὁ τῆς ἀληθείας λόγος, ἐπειδάν τις ἀκράτῳ παρρησίᾳ χρώμενος μεγάλων ἀγαθῶν προσδοκίαν ἀφαιρῆται.

§ 39a. 1. Διογένης ἔλεγεν οὐ πρὸς ἀνδρείαν οὐδὲ πρὸς δικαιοσύνην χρῆσθαι τῇ σοφίᾳ τοὺς ἀνθρώπους, ἀλλὰ πρὸς ἡδονήν. — 2. Οἱ Πυθαγόρειοι μεγίστην ἐποιοῦντο πρόνοιαν τῆς πρὸς τοὺς φίλους βεβαιότητος. — 3. Ὁ πονηρέ· μὴ πειρῶ τὴν κτῆσιν αὔξειν, ἀλλὰ τὴν ἐπιθυμίαν μειῶσαι. — 4. Ἐπαινείσθωσαν καὶ εὐδοκιμείτωσαν, ὅσοι ἂν ὄντες εὔποροι τοῖς ἐνδεεστέροις ἐπαρκῶσιν. — 5. Οἱ Λακεδαιμόνιοι εἱστιῶντο πάντες ἐν κοινῷ. — 6. Διογένης Ἀντισθένει ἐχρῆτο, οὐκ αὐτὸν οὕτως ἐπαινῶν ὡς τοὺς λόγους, οὓς ἔλεγεν. — 7. Ἐγὼ νομίζω τὸ[1] μὲν μηδενὸς

---

§ **38a**. [1] gnomischer Aorist § 29a. 2. — § **39**. [1] worin? [2] τό hebt den Infinitiv nachdrücklich als Obj. hervor; bleibt unübersetzt. [3] Potentialis. — § **39a**. [1] τό hebt den Inf. als Obj. hervor und bleibt unübersetzt.

δέεσθαι θεῖον εἶναι τὸ δὲ ὡς ἐλαχίστων[2] ἐγγυτάτω[3] τοῦ θείου. — 8. Ὅταν μάλιστα εὐπορῇς, τότε πρὸ τῆς ἀπορίας κάλλιστ᾽ ἂν μηχανῷο[4]. — 9. Ἀγησίλαος μείζω ζημίαν ἡγεῖτο φίλων ἢ χρημάτων στερίσκεσθαι.

Futur und 1. Aorist des Mediums der verba pura.

§ 40. 1. Οὐκ εὐφυᾶ δεῖ τὸν λοιδορησόμενον[1] εἶναι ἀλλ᾽ ἀνέγκλητον. — 2. Οἱ δήμαρχοι τυραννίδι ἐπιβουλεύειν τὸν Μάρκιον[2] ἠτιάσαντο καὶ πρὸς ταύτην ἐκέλευον τὴν αἰτίαν ἥκειν ἀπολογησόμενον. — 3. Ἡρακλῆς πολλοῖς οὐ μόνον χρήματα ἄπειρα καὶ γῆν καὶ ἀγέλας ἵππων καὶ βοῶν ἀλλὰ βασιλείας καὶ πόλεις ὅλας ἐδωρήσατο. — 4. Οὐκ ἔστι, περὶ ὅτου θειοτέρου[3] ἂν ἄνθρωπος βουλεύσαιτο ἢ περὶ παιδείας. — 5. Πάντες ἄνθρωποι μέγιστον ἀγαθὸν τὴν φρόνησιν εἶναι λέγουσιν, ὀλίγοι δέ εἰσιν οἱ τὸ μέγιστον ἀγαθὸν τοῦτο κτήσασθαι πειρώμενοι. — 6. Ἀνάχαρσις ὁ Σκύθης ἧκεν εἰς τὴν Ἑλλάδα θεασόμενος[4] τά τε ἔθη καὶ τοὺς ἀνθρώπους. — 7. Φίλους μὴ ταχὺ κτῶ· οὓς δ᾽ ἂν κτήσῃ, μὴ ταχὺ ἀποδοκίμαζε! — 8. Κτῆσαι ἐν μὲν νεότητι εὐπραξίαν, ἐν δὲ τῷ γήρᾳ σοφίαν!

§ 40a. 1. Πολλοὶ πολλὰ ἔχοντες[1] χρήματα οὕτω πένεσθαι ἡγοῦνται, ὥστε πάντα μὲν πόνον, πάντα δὲ κίνδυνον ὑποδύονται, ἐφ᾽ ᾧ[2] πλείονα κτήσονται. — 2. Διογένης κατεγέλα τῶν τὰς κρήνας παρερχομένων, ζητούντων δὲ ὁπόθεν πάντως ὠνήσαιντο[3] Χῖον ἢ Λέσβιον[4]. — 3. Οἱ Ῥωμαῖοι τῆς τρυφῆς τῆς Ἀσιανῆς γευσάμενοι τὰ πάτρια ἔθη οὐ διὰ μακροῦ[5] κατεπάτησαν. — 4. Τὸ φυλάξαι τι τοῦ[6] κτήσασθαι χαλεπώτερόν ἐστιν. — 5. Λάλει ἃ δεῖ καὶ ὅτε δεῖ, καὶ οὐκ ἀκούσει ἃ μὴ δεῖ. — 6. Ἐὰν ἐθελονταὶ ποιῶμεν τὰ δοκοῦντα τῷ δαιμονίῳ, οὐ λυπησόμεθα. — 7. Μεσσηνίους πολιορκοῦντες οὐ[7] πρότερον ἐπαύσαντο οἱ Λακεδαιμόνιοι, πρὶν ἐξέβαλον ἐκ τῆς χώρας. — 8. Μιμησώμεθα[8] τοὺς τῆς δόξης πεφροντικότας.

---

[2] ἐλαχίστων hängt von einem zu ergänzenden δέεσθαι ab. [3] Gramm. § 205. [4] Potentialis. — § 40. [1] der — will. [2] Marcius Coriolanus. [3] für οὐκ ἔστι θειότερον, περὶ ὅτου ... [4] im Deutschen ein Absichtssatz. — § 40a. [1] mit wiewohl aufzulösen. [2] auf daß. [3] woher sie — sollen. [4] ergänze οἶνον. [5] in nicht gar langer Zeit. [6] Genet. comparationis. [7] im Deutschen der Infinitiv. [8] Konjunktiv der Aufforderung: laßt uns.

Perfekt und Plusquamperfekt der verba pura.

§ 41. 1. Πεπαιδευμένων ἐστὶ καὶ σωφρόνων ἀνδρῶν[1] πρὸς τὰς ἀτυχίας γενναίως φυλάξαι τὸ πρέπον. — 2. Ἐτῶν τριακοσίων ἐκπεπληρωμένων ἀπὸ τοῦ Ῥώμης συνοικισμοῦ λοιμικὴ νόσος εἰς τὴν Ῥώμην κατέσκηψε, μεγίστη τῶν ἐκ τοῦ προτέρου χρόνου μνημονευομένων. — 3. Ὁπόσους ἄν τις ᾖ κεκτημένος ἑταίρους, τοσούτοις ὀφθαλμοῖς, ἃ βούλεται, ὁρᾷ. — 4. Οὐδένα ἡγοῦμαι τῶν πώποτε[2] ἠδικῆσθαι ὑπὸ φίλου· ἅμα γάρ τις, ἀδικῶν πεφώραται καὶ δῆλον πεποίηκεν, ὅτι οὐκ ἦν φίλος. — 5. Καῖσαρ παιδείᾳ παντοδαπῇ ἀκριβῶς ἤσκητο. — 6. Θεμιστοκλῆς ἐκέλευε πλεῖν ἐπὶ τοὺς Πέρσας· οὕτω γὰρ αὐτοὺς[3] πλεονεκτήσειν ἀθρόαις ταῖς ναυσὶν ἐπιπλέοντας τοῖς διὰ τὴν ταραχὴν διεσπασμένην ἔχουσι τὴν τάξιν.

§ 41a. 1. Οἱ ἀκόλαστοι αὐτὸ[1] τὸ κεκωλυμένον ἐν φόβῳ τε καὶ πολλοῖς ἀναλώμασι διώκουσιν. — 2. Ὁ κροκόδειλος τὸ σῶμα[2] θαυμαστῶς ὑπὸ τῆς φύσεως ὠχύρωται. — 3. Πᾶς ὁ βίος ἡμῶν εἰς ἄνεσιν καὶ σπουδὴν διῄρηται. — 4. Καλόν ἐστι, πολλὰ κεκτημένον ζῆν κατὰ λογισμὸν καὶ μὴ κατὰ τὴν ἐπιθυμίαν. — 5. Ῥαδάμανθυν λέγουσι τὰς κρίσεις πάντων δικαιότατα πεποιῆσθαι. — 6. Νικίας ὁ γραφεὺς οὕτως ἦν φιλόπονος, ὥστε πολλάκις ἐρωτᾶν τοὺς οἰκέτας, εἰ λέλουται καὶ εἰ ἠρίστηκεν. — 7. Βίων ἔφη· „Τὰ χρήματα τοῖς πλουσίοις ἡ τύχη οὐ δεδώρηται, ἀλλὰ δεδάνεικεν.“ — 8. Ἄντιον ἵδρυτο ἐπὶ πετραῖς. — 9. Τῆς τῶν Ἑλλήνων πλάνης τῆς εἰς τὰ βάρβαρα ἔθνη νομίζοι ἂν[3] τις αἴτιον τὸ[4] διεσπάσθαι κατὰ μέρη πολλά.

Aorist und Futur I. Passiv der verba pura.

§ 42. 1. Οἱ πολλοὶ λοιδορηθέντες οὐ σκοποῦσιν, εἰ πρόσεστιν[1] αὐτοῖς τὸ λεγόμενον, ἀλλά τι πρόσεστιν ἕτερον τῷ λοιδοροῦντι. — 2. Οὐδενὶ πώποτε πάντα κατὰ τὸν νοῦν ἐχώρησε τὰ πράγματα μηδὲν ἐναντιωθείσης[2] τῆς τύχης. — 3. Πολλῷ κρεῖττόν

---

§ 41. [1] § 14. 2. [2] οἱ πώποτε die je gelebt haben. [3] sie selber, d. i. die Griechen. — **§ 41a.** [1] gerade. [2] Accusativ der Beziehung. [3] Potentialis. [4] § 26a. 1. — **§ 42.** [1] von πρόσ-ειμι. [2] ohne daß ...

ἐστι κατορθώσαντάς τι ζηλοτυπηθῆναι ἢ πταίσαντας ἐλεηθῆναι. — 4. Εἰ βούλει γιγνώσκεσθαι παρὰ θεῷ, ἀγνοήθητι μάλιστα παρὰ ἀνθρώποις. — 5. Παλαμήδην φασὶν ἀδίκως ὑπὸ τῶν Ἀχαίων καταλευσθέντα τελευτῆσαι. — 6. Ἡ Μακεδονικὴ δυναστεία μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν διεσπάσθη εἰς πολλοὺς ἡγεμόνας. — 7. Οὐ ῥᾴδιον ῥήτορι καλλίστων πράξεων ἐφικνεῖσθαι· τίς γὰρ ἂν λόγος μεγάλοις ἔργοις ἐξισωθείη;[2] — 8. Μὴ κακολογήσῃς τὸν πλησίον, εἰ δὲ μή, ἀκούσῃ, ἐφ' οἷς λυπηθήσῃ.

§ 42a. 1. Λέγουσι Λίνον τελευτῆσαι ἐν Εὐβοίᾳ τοξευθέντα ὑπ' Ἀπόλλωνος. — 2. Φωραθεὶς ὁ κόλαξ οὐ καταγιγνώσκεται μόνον, ἀλλὰ καὶ μισεῖται· δοκεῖ γὰρ καταγελῶν λέγειν. — 3. Οἱ Αἰγύπτιοι τὸν μετὰ τὴν τελευτὴν δι' ἀρετὴν μνημονευθησόμενον βίον περὶ πλείστου ἐποιοῦντο. — 4. Ἡττήθησαν ἐν Λεύκτροις ὑπὸ Θηβαίων Λακεδαιμόνιοι. — 5. Παρ' οἷς ἂν ἕν τι κινηθῇ, παρ' ἐκείνοις κεκίνηται πάντα ὁμοίως. — 6. Πλοῦτος ἐν πόλει μελλούσῃ εὐδαιμονεῖν ἀρετῆς μήποτε προτιμηθείη.[1] — 7. Πάντες εἰώθασι πλείω χάριν ἔχειν τοῖς ἐπαινοῦσιν ἢ τοῖς συμβουλεύουσιν, ἄλλως τε κἂν μὴ κελευσθεὶς ἐπιχειρῇ τις τοῦτο ποιεῖν. — 8. Δίκαιον διανοηθῆναι ὅτι, εἴπερ ἡ ψυχὴ ἀθάνατος, ἐπιμελείας δὴ δεῖται ὑπὲρ τοῦ παντὸς χρόνου.

Futur und Aorist I. Medii der verba muta.

§ 43. 1. Λυκοῦργος κατειργάσατο ἐν τῇ Σπάρτῃ αἱρετώτερον εἶναι τὸν καλὸν θάνατον ἀντὶ τοῦ αἰσχροῦ βίου. — 2. Παρὰ θεῶν ἐπιπέμπονται τοῖς ἄνοσια καὶ δεινὰ διαπραξαμένοις αἱ Ἐριννύες. — 3. Κυβερνήτου μὲν ἔργον ἀγαθοῦ εἰς τὰς τῶν πνευμάτων μεταβολὰς ἁρμόσασθαι, ἀνδρὸς δὲ σοφοῦ πρὸς τὰς τῆς τύχης. — 4. Ὁ τῶν Κρητῶν νομοθέτης εἰς τὸν πόλεμον ἀποβλέπων ἅπαντα δημοσίᾳ τε καὶ ἰδίᾳ τὰ νόμιμα συνετάξατο. — 5. Μήποτε δῶρον δέξαιο[1] παρὰ κακῶν ἀνδρῶν. — 6. Ὧν ἂν πόλεων τρυφὴ ἅψηται, ταύταις οὐκ ἔστι πλείω χρόνον διαγίγνεσθαι. — 7. Κτησάμενος[2] λογισμὸν οὔτε πλούτου ἐπιθυμήσεις οὔτε πενίαν μέμψῃ. — 8. Ἐγκράτειαν πρώτην ἐν τῇ ψυχῇ κατασκεύασαι.

---

[2] Potentialis. — § 42a. [1] s. § 27a. 1. — § 43. [1] § 27a. 1. [2] mit wenn aufzulösen.

§ 43a. 1. Ἀγησίλαος μάλα ἔνδηλον ἐποίει ὡς οὐκ ἂν πᾶσαν τὴν γῆν δέξαιτο[1] ἀντὶ τῆς πατρίδος. — 2. Κρεῖττόν ἐστιν ἄρξασθαι ὀψὲ τὰ δέοντα πράσσειν ἢ μηδέποτε. — 3. Καῖσαρ πάντα τῆς Γαλατίας ἔθνη κατεστέψατο. — 4. Ἀχιλλεὺς μόνον φθεγξάμενος ἔτρεπε τοὺς Τρῶας. — 5. Ἀλέξανδρος ἐν ὀλίγῳ χρόνῳ μεγάλας πράξεις κατειργάσατο. — 6. Οἱ Ἀθηναῖοι ἐμπόριον ἐν μέσῳ τῆς Ἑλλάδος τὸν Πειραιᾶ κατεσκευάσαντο. — 7. Καθάπερ τῆς ῥοδωνιᾶς τὰ ἄνθη ἀποδρεψάμενοι τὰς ἀκάνθας ἐκκλίνομεν, οὕτω καὶ ἐπὶ τῶν ποιήσεων ὅσον χρήσιμον[2] καρπωσάμενοι, τὸ βλαβερὸν φυλαξώμεθα[3]. — 8. Οἱ Ἀθηναῖοι κρατήσαντες τῶν Μιτυληναίων ἀδικῆσαι μὲν οὐδὲν βουλομένων[4], ἐπιθυμούντων δὲ τῆς ἐλευθερίας. ἐψηφίσαντο τοὺς ἐν τῇ πόλει κατασφάξαι.

Perfekt und Plusquamperfekt der verba muta.

§ 44. 1. Ἡ προβατευτικὴ τέχνη συνῆπται τῇ γεωργίᾳ. — 2. Ὁ Περσῶν βασιλεὺς κατ' ἐνιαυτὸν ἐξέτασιν ἐποιεῖτο τῶν μισθοφόρων καὶ τῶν ἄλλων, οἷς ὡπλίσθαι προσετέτακτο. — 3. Τοῖς κάλλιστα πολεμεῖν παρεσκευασμένοις μάλιστα ἔξεστιν εἰρήνην ἄγειν. — 4. Οἱ Θηβαῖοι[1] περὶ τῶν ἐκλείψεων ἡλίου τε καὶ σελήνης ἀκριβῶς ἐπεσκέφθαι ἐδόκουν. — 5. Οἱ πολλοὶ ἔχαιρον τῆς δυναστείας τοῦ Καίσαρος ἀπηλλάγμενοι, καὶ τινες καὶ ἄταφον τὸ σῶμα αὐτοῦ ῥῖψαι ἐνενόουν. — 6. Ὀρφεὺς τέθαπται περὶ τὴν Πιερίαν. — 7. Οἱ γίγαντες ἠκόντιζον εἰς οὐρανὸν πέτρας καὶ δρῦς ἡμμένας. — 8. Οὐχ οἷόν τε πόλιν μὴ ἀνατετράφθαι, ἐν ᾗ ἂν οἱ νόμοι μηδὲν ἰσχύωσιν. — 9. Αἱ δυσπραξίαι ταχέως καταφανεῖς ποιοῦσιν, εἴ τι τῶν ἄλλων ἄμεινον τεθράμμεθα καὶ πεπαιδεύμεθα πρὸς ἀρετήν. — 10. Τὴν γλῶτταν δεῖ πεφράχθαι.

§ 44a. 1. Θεράπευε τὸ θεῖον οὐχ ὁμολογῶν μόνον ἀλλὰ πεπεισμένος εἶναι θεόν. — 2. Προσετέτακτο πᾶσι τοῖς Αἰγυπτίοις ἀπογράφεσθαι πρὸς τοὺς ἄρχοντας, ἀπὸ τίνων ἕκαστος πορίζεται τὸν βίον. — 3. Ἀρχίδαμος ἐν τῷ Πελοποννησιακῷ πολέμῳ, τῶν συμμάχων ἀξιούντων ὁρίσαι τοὺς φόρους αὐτοῖς, ἔφη· Ὁ πόλεμος οὐ τεταγμένα σιτεῖται. — 4. Ὑμῶν παρεσκευάσθω τὰ

---

§ 43a. [1] Potentialis. [2] sc. ἐστίν. [3] Konjunktiv der Aufforderung. [4] mit wiewohl aufzulösen. — § 44. [1] aus dem ägyptischen Theben.

ὦτα δέξασθαι[1] φρονίμους λόγους. — 5. Οἱ διεψευσμένοι τῆς ἑαυτῶν δυνάμεως πολλοῖς κακοῖς περιπίπτουσιν. — 6. Ἀξιοθαύμαστόν ἐστιν, εἰ ἄνθρωπος μέτριος πολλοῖς ὁμιλῶν μοχθηροῖς μὴ διέστραπται. — 7. Οὐ κεχώρισται τὸ κοινὸν συμφέρον τοῦ ἰδίου. — 8. Ἰφικράτης τὸ στράτευμα οὕτως ἔφασκε δεῖν συντετάχθαι ὡς ἓν σῶμα. — 9. Ἀδύνατόν ἐστι μήτε ἐν τοῖς αὐτοῖς ἔθεσι τεθραμμένους τινὰς μήτε τὰ αὐτὰ αἰσχρὰ καὶ καλὰ νομίζοντας εἶναι φίλους.

Aorist und Futur I. Passiv der verba muta.

§ 45. 1. Δοκοῦσι πάντες ἄνθρωποι πλέον ἀλγεῖν[1] ᾧ ἂν ἀτιμασθῶσιν ἢ χαίρειν ἐφ' οἷς[2] ἂν εὐεργηθῶσιν. — 2. Τοῦτο πείσθητε βιβαίως, ὅτι τὰ συμβαίνοντα τοῖς ἀνθρώποις ἐπ' ἀγαθῷ[2] πάντ' ἐστὶ δαιμόνια. — 3. Τὸ ἐξελεγχθῆναι πονηρὸν ὄντα τῷ παντὶ[3] δεινότερον τοῦ καταλευσθῆναι. — 4. Δεῖ ὥσπερ εὐνομουμένης τῆς πόλεως φυγαδεύειν στασιαστὴν ἄνθρωπον, οὕτως ἐκ τῆς σωθησομένης[4] ψυχῆς τὸν πρὸς τὰ φαῦλα κεκλικότα νοῦν. — 5. Αἰσχρόν ἐστι καλῶς τῆς τύχης ἡγουμένης ἀπολειφθῆναι. — 6. Λόγος ἤπιός τῳ λεχθεὶς πᾶν τὸ ἀγριαῖνον αὐτοῦ πραΰνει, καθάπερ τραχὺς ἕτερος καὶ τὸ ἀνειμένον ὀργίζει. — 7. Τῶν εἰς Θερμοπύλας ἐκπεμφθέντων ἡγεῖτο Λεωνίδης ὁ τῶν Σπαρτιατῶν βασιλεύς, μέγα φρονῶν ἐπ' ἀνδρίᾳ καὶ στρατηγίᾳ.

§ 45a. 1. Θεμιστοκλῆς ὑπὸ τοῦ πατρὸς ἀπεκηρύχθη. — 2. Ὅσοι ἂν ἀμαθεῖς ὄντες[2] πεισθῶσι σοφοὶ εἶναι, οὗτοι πολὺ εἰσιν ἀθλιώτεροι τῶν ἄλλων ἁπάντων. — 3. Σαλμωνεὺς τῷ Διὶ ἐξισοῦσθαι θέλων διὰ τὴν ἀσέβειαν ἐκολάσθη· Ζεὺς γὰρ αὐτὸν κεραυνώσας τὴν κτισθεῖσαν ὑπ' αὐτοῦ πόλιν ἠφάνισεν. — 4. Ὁπότε Ἀγαμέμνων Νέστορι συμβουλεύσαντι μὴ πεισθείη[2], ὠδύρετο καὶ παραχρῆμα μετενόει. — 5. Οὗ ἄν τις ὑπὸ ἄρχοντος ταχθῇ, ἐνταῦθα δεῖ μένοντα κινδυνεύειν. — 6. Ἡδύ τοι σωθέντα μεμνῆσθαι κακῶν. — 7. Πεισθεὶς ἄν τις ῥᾷον καὶ τὰ δεινότατα ἢ

---

§ 44a. [1] um — aufzunehmen. — § 45. [1] ergänze τούτῳ. [2] für ἐπὶ τούτοις, ἅ. [2] verbinde τὰ συμβαίνοντα ἐπ' ἀγαθῷ. [3] § 34. 3. [4] aus einer, welche — soll. — § 45a. [1] mit obgleich aufzulösen. [2] Der Optativ kann in Nebensätzen eine Wiederholung in der Vergangenheit ausdrücken.

βιασθεὶς[3] *ὑπομείνειεν.* — 8. *Ὁ ἀγαθὸς ἀνὴρ οὐ καμφθήσεταί ποτε δι' ἔνδειαν οὐδὲ μεταβαλεῖ τὸν αὑτοῦ τρόπον.* — 9. *Ἀντιγόνη ὑπὸ Κρέοντος ζῶσα τῷ τάφῳ ἐνεκρύφθη.*

Medium und Passiv der verba liquida.

§ 46. 1. *Ἔνιοι τὴν ζωγραφίαν σιωπῶσαν ἀπεφήναντο ποιητικήν.* — 2. *Μήδεια κρύφα τοῦ πατρὸς συνεργήσειν Ἰάσονι πρὸς τὴν κατάζευξιν τῶν χαλκοπόδων ταύρων ἐπηγγείλατο.* — 3. *Λέγων τἀληθὲς οὐ σφαλεῖ ποτε.* — 4. *Ἔνιοι οὕτως ἄγαν εἰσὶν ὑπὸ δόξης διεφθαρμένοι τὰς ψυχάς*[1], *ὥστε μᾶλλον ἐπιθυμοῦσι περιβόητοι εἶναι ἐπὶ τοῖς μεγίστοις ἀτυχήμασιν ἢ μηδὲν κακὸν ἔχοντες*[2] *ἀγνοεῖσθαι.* — 5. *Οὐδὲν ἐν τῇ διανοίᾳ τοῦ ἐκκεκαθαρμένου ἀνδρὸς μεμολυσμένον φωράσεις.* — 6. *Πᾶσι παρηγγέλθω μὴ διὰ φθόνον κρείσσοσιν ἁμιλλᾶσθαι.* — 7. *Ὁ τύραννος ὡς ὑπὸ πάντων ἀνθρώπων κατακεκριμένος δι' ἀδικίαν ἀποθνήσκειν, οὕτως καὶ νύκτα καὶ ἡμέραν διάγει.* — 8. *Πολλοὶ ὥσπερ ἐς ὕψος τι μέγα παρὰ λόγον ἀρθέντες ὑπ' ἐκπλήξεως ἔπταισαν.* — 9. *Παρὰ τοῖς Αἰγυπτίοις ἕωθεν ἐγερθέντα λαμβάνειν τὸν βασιλέα ἔδει πρῶτον τὰς πανταχόθεν ἀπεσταλμένας ἐπιστολάς.* — 10. *Ἡ ἅμιλλα τοῖς ἀγαθοῖς πρὸς ἀρετὴν τέταται.*

§ 46a. 1. *Ἀφ' ὧν*[1] *ἐποίησέ τις, ἀλλὰ μὴ ἀφ' ὧν φησι ποιήσειν, τεκμήρασθε.* — 2. *Ἀλέξανδρος ἔπεμψε πρὸς τὴν μητέρα καὶ τὴν γυναῖκα Δαρείου Λεοννάτον ἐντειλάμενος φράσαι, ὅτι ζῇ Δαρεῖος.* — 3. *Ἐμπεδοκλῆς καθήλατο εἰς τὸν τῆς Αἴτνης κρατῆρα.* — 4. *Αἰδοῦ σαυτόν, καὶ ἄλλον οὐκ αἰσχυνθήσει.* — 5. *Φιλίαν δεῖ καὶ συνήθειαν σῴζειν ἐν πολλῷ χρόνῳ κριθεῖσαν.* — 6. *Ὁ αἰδήμων οὐδὲν οἴεται ἄξιον λόγου οἱ πεπεράνθαι.* — 7. *Ὁ φανερὰ τῷ λόγῳ ποιῶν τὰ ἁμαρτήματα κρείττων ἐστὶ καὶ προκέκριται τῶν ἐπαινούντων.* — 8. *Ἀλκμαίωνι Ἀπόλλων ταύτην τὴν γῆν ἔχρησεν οἰκεῖν, ἥτις, ὅτε τὴν μητέρα ἔκτεινε, μήπω ὑπὸ ἡλίου ἑωρᾶτο, ὡς*[2] *τῆς γε ἄλλης αὐτῷ*[3] *μεμιασμένης.* — 9. *Οἱ ἀνόητοι καὶ παρόντα τὰ χρηστὰ παρορῶσι καὶ ἀμελοῦσιν ὑπὸ*[4] *τοῦ συντετάσθαι πρὸς τὸ μέλλον ἀεὶ ταῖς φροντίσιν.*

---

[3] Gramm. §. 175. — **§ 46.** [1] Accus. der Beziehung. [2] mit ohne daß aufzulösen. — **§ 46a.** [1] für *ἀπὸ τούτων, ἅ.* [2] da nämlich. [3] = *ὑπ' αὐτοῦ.* [4] in Folge davon, daß.

Aorist II. des Mediums und Passivs; Futur II. des Passivs.

§ 47. 1. Φίλιππος ὁ Μακεδόνων βασιλεὺς Ἀριστοτέλην ἐπηγάγετο τῷ υἱεῖ Ἀλεξάνδρῳ διδάσκαλον. — 2. Σκεψώμεθα[1] καθ' ἡσυχίαν πάντα, καὶ ὅπῃ ποτ' ἂν ὁ λογισμὸς ἡμᾶς ἀγαγῇ, τραπώμεθα. — 3. Ἡ Μακεδονικὴ δυναστεία μεγέθει μὲν ἀρχῆς ἁπάσας ὑπερεβάλετο τὰς πρὸ αὐτῆς, χρόνον δὲ οὐ πολὺν ἤνθησεν. — 4. Ζήνων τῆς ναυκληρίας αὐτῷ συντριβείσης εἶπεν· Εὖ γε, ὦ Τύχη, ποιεῖς εἰς τὸν τρίβωνα συνελαύνουσα[2] ἡμᾶς. — 5. Οὐ δεῖ βλαβέντας αἰσθάνεσθαι, ἀλλ', ὅπως μὴ βλαβῶμεν, ἐμπειρίαν λαμβάνειν. — 6. Πρίαμος ὁ Φρυγῶν βασιλεὺς ἐπὶ τῷ βωμῷ τοῦ Διὸς ἐσφάγη. — 7. Οἱ Αἰγύπτιοί φασιν ἀποικίας πλείστας ἐξ Αἰγύπτου κατὰ πᾶσαν διασπαρῆναι τὴν οἰκουμένην. — 8. Ὥσπερ ἀσθενεῖς εἰσιν ὁπλαὶ κτηνῶν ἐν λείοις τραφέντων[3] χωρίοις, ὁμοίως ὦτα γίγνεται τρυφερὰ ἐν κολακείᾳ τραφέντων[3] καὶ λόγοις ψευδέσιν. — 9. Σωκράτης ἐρωτηθείς, διὰ τί οὐ συγγράφει, „Ὅτι, ἔφη, ὁρῶ τοὺς χάρτους πολὺ τῶν γραφησομένων τιμιώτερα."

§ 47a. 1. Ἀρίστιππος ὁ Σωκρατικὸς τὴν Κυρηναϊκὴν κατεβάλετο φιλοσοφίαν. — 2. Οἱ τριάκοντα πολλοὺς μὲν τῶν πολιτῶν καὶ οὐ τοὺς χειρίστους ἀπέκτειναν, πολλοὺς δὲ προετράποντο ἀδικεῖν. — 3. Πέλοπα ἐκ τῆς Φρυγίας ἐπαγαγέσθαι λαὸν λέγουσιν εἰς τὴν Πελοπόννησον. — 4. Σεσόωσις ἀποσταλεὶς ὑπὸ τοῦ πατρὸς μετὰ δυνάμεως εἰς τὴν Ἀραβίαν κατεστρέψατο τὸ ἔθνος ἅπαν τὸ τῶν Ἀράβων. — 5. Πομπήϊος χιλίων ποτὲ νεῶν ἄρξας ἐν πλοιαρίῳ τινὶ διεφθάρη. — 6. Οὐ ῥᾴδιον ἡμᾶς μεταμανθάνειν τὸ βέλτιον, ὅταν ἐντραφῶμεν τοῖς χείροσιν. — 7. Ὁ ἀληθὴς φίλος οὔποτε κόλαξ καὶ γόης φανήσεται. — 8. Οἱ Σπαρτιᾶται κυκλωθέντες δι' Ἐφιάλτου προδοσίαν ἐν Θερμοπύλαις κατεκόπησαν. — 9. Γοργὸν[1] βλέπουσιν οἱ ὀφθαλμοὶ τοῖς μανεῖσιν.

Verba, deren Charakter bald kurz bald lang ist.

§ 48. 1. Δία μυθολογοῦσι τὸν ἑαυτοῦ πατέρα δῆσαι. — 2. Τῷ Καυκάσῳ ὄρει προσηλωθεὶς Προμηθεὺς πολλῶν ἐτῶν

---

§ 47. [1] Konjunktiv der Aufforderung. [2] mit daß aufzulösen. [3] von solchen, welche. — § 47a. [1] im Deutschen das Adverb.

ἀριθμὸν ἐδέδετο, μέχρι Ἡρακλῆς αὐτὸν ἔλυσεν. — 3. *Ὁμόνοιαν πάντες ἐπῄνεσαν ἀεὶ καὶ μεστὰ τῶν ἐγκωμίων αὐτῆς ἐστι καὶ τὰ ποιήματα καὶ τὰ τῶν φιλοσόφων συγγράμματα.* — 4. *Σωκράτης οὐκ ἔπινε γυμνασάμενος, εἰ μὴ τὸν πρῶτον ἐκχέαι*[1] *κάδον ἀνιμήσας.* — 5. *Κατ' Ἀριστοτέλη οἱ ἰχθύες τῆς ἀντλίας ἐκχυθείσης φεύγουσιν ὡς ὀσφραινόμενοι τῆς ὀσμῆς.* — 6. *Οὐδὲν ὄφελός ἐστι σωμάτων διακεχυμένων ὑπὸ μέθης.*

§ 48a. 1. *Καῖσαρ τοὺς φονεύσαντας Πομπήϊον οὐκ ἐπῄνεσεν, ἀλλὰ καὶ ἀνταπέκτεινεν οὐ πολλῷ ὕστερον.* — 2. *Ἔρριψεν Ἥφαιστον ἐξ οὐρανοῦ Ζεὺς Ἥρᾳ δεθείσῃ βοηθοῦντα.* — 3. *Ὥσπερ οἱ ἀνυπόδητοι ἐνίοτε ῥᾷον βαδίζουσι τῶν φαύλως ὑποδεδεμένων, οὕτω πολλοὶ χωρὶς οἰκετῶν ῥᾷον ζῶσι καὶ ἀλυπότερον τῶν πολλοὺς οἰκέτας ἐχόντων.* — 4. *Μόνον Οἰδίπουν φασὶ λῦσαι τὸ αἴνιγμα τῆς Σφιγγός.* — 5. *Μένανδρός φησι· Συγκέκυχε νῦν τὴν πίστιν ὁ καθ' ἡμᾶς βίος.* — 6. *Χρύσιππος ἔλεγε τὴν ὁμίχλην νέφος διακεχυμένον.* — 7. *Ζεὺς πολὺν ὑετὸν ἀπ' οὐρανοῦ χέας τὰ πλεῖστα μέρη τῆς Ἑλλάδος κατέκλυσεν.*

Futur III., Verbaladjektiv, attisches und dorisches Futur.

§ 49. 1. *Κολαστέον*[1] *μὲν τοὺς ἀδίκους, κωλυτέον δὲ τοὺς ὑβρίζειν βουλομένους.* — 2. *Τῆς αἰσχρολογίας ἀπακτέον τοὺς παῖδας.* — 3. *Τὸν νομοθέτην πειρατέον ταῖς πόλεσι φρόνησιν μὲν ὅσην δυνατὸν*[2] *ἐμποιεῖν, τὴν δ' ἄνοιαν ὅτι*[3] *μάλιστα ἐξαιρεῖν.* — 4. *Κολακείαν ἡγητέον χαλεπὴν τὴν λανθάνουσαν, οὐ τὴν ὁμολογοῦσαν, οὐδὲ τὴν παίζουσαν, ἀλλὰ τὴν σπουδάζουσαν.* — 5. *Σωφροσύνην μὲν διωκτέον καὶ ἀσκητέον.* — 6. *Οἱ Ἀθηναῖοι ἔμελλον οὐχ ὑπὲρ μικρῶν τινων πρὸς τοὺς Πέρσας ἀγωνιεῖσθαι, ἀλλ' ὑπὲρ τῆς ἐλευθερίας.* — 7. *Οὐκ ἐν ἄλλῳ τινὶ τὴν ἀνθρωπίνην εὐγένειαν ὑπάρχειν νομιοῦμεν ἀλλ' ἐν ἀρετῇ.* — 8. *Τοῖς ἀπίστοις ταχὺ οὐδεὶς φίλος λελείψεται.*

§ 49a. 1. *Πᾶσαν πολακείαν καὶ τὴν περὶ ἑαυτὸν καὶ τὴν περὶ τοὺς ἄλλους φευκτέον.* — 2. *Εὐλαβητέον ἐστὶ τὸ ἀδικεῖν*

---

§ 48. [1] § 45a. 2. — **§ 49.** [1] Das Verbaladjektiv auf *τέος* kann von Transitiven persönlich stehen, oder unpersönlich mit dem Kasus des Verbs. [2] eine möglichst große. [3] *ὅτι* (wie quam) verstärkt den Superlativ.

μᾶλλον ἢ τὸ ἀδικεῖσθαι. — 3. Οὐ τὸ ζῆν περὶ πλείστου ποιητέον ἀλλὰ τὸ εὖ ζῆν. — 4. Στρατώταις νυκτὸς πορευομένοις ἥ τε σιωπὴ ἀσκητέα καὶ ἡ τάξις διαφυλακτέα. — 5. Ἐν πολέμῳ ἀποκεκινδυνεύσεται τά τε χρήματα καὶ αἱ ψυχαί. — 6. Οὔποτε εὐδαιμονιστέον τὸν ἔτι ζῶντα διὰ τὸ τῆς τύχης ἄδηλον[1]. — 7. Μετὰ τὴν ἐν Κουνάξῃ μάχην οἱ Ἕλληνες ἐπηγγείλαντο Ἀριαίῳ εἰς τὸν θρόνον τὸν βασίλειον καθιεῖν αὐτόν. — 8. Οἱ τοῖς παρανομωτάτοις τῶν ἔργων ἐπιχειροῦντες τὰς μὲν πονηρίας τὰς τῶν πραγμάτων οὐκ ἀγνοοῦσιν, ἐλπίζουσι δὲ τὰ δεινὰ πάντα τὰ προσόντα τῷ πράγματι καὶ τὰ κακὰ διαφευξεῖσθαι.

Synkope und Metathesis.

§ 50. 1. Ἀναιδείᾳ πάντας ὑπερβέβληκεν ὁ κόλαξ. — 2. Πυθαγόρας, καταμεμφόμενος τοὺς πρὸ αὐτοῦ κεκλημένους ἑπτὰ σόφους, ἔλεγεν, ὡς σοφὸς οὐδείς ἐστιν ἄνθρωπος ὤν. — 3. Ἀπὸ Πελασγοῦ κληθῆναί φασι τοὺς τὴν Πελοπόννησον οἰκοῦντας Πελασγούς. — 4. Σωκράτης διαβληθεὶς ὑπό τινων ἐθανατώθη· ἦν δὲ ὁ κατήγορος Μέλητος. — 5. Οὐδέν, φησὶ Φιλίσκος, ἐκφευζόμεθα τῶν πεπρωμένων. — 6. Οἱ Ῥωμαῖοι κατεγέλασαν Ἀντωνίου ἑαυτὸν Ὄσιριν καὶ Διόνυσον ἐπικεκληκότος. — 7. Αἱ μητέρες ἀψοφητὶ φυλάττουσι τὰ παιδάρια κατακοιμηθέντα, ἵνα μὴ ἀνεγρόμενα ἐκταραχθῇ.

§ 50a. 1. Διὰ τῶν πλαγκτῶν πετρῶν διεκόμισεν τοὺς Ἀργοναύτας σὺν Νηρῄσι Θέτις παρακληθεῖσα ὑφ' Ἥρας. — 2. Δημοσθένης δυνάμει τε ἀπαγγελίας καὶ δεινότητι διανοίας καὶ πλήθει λόγων πάντας τοὺς ῥήτορας ὑπερβέβληκεν. — 3. Τὴν Ῥωμαίων ἡγεμονίαν ἁπάσας ὑπερβεβλημένην[1] ὁρῶμεν τὰς πρὸ αὐτῆς μνημονευομένας. — 4. Τὸ τελευτῆσαι πάντων ἡ πεπρωμένη κατέκρινεν. — 5. Ἀλεκτρυὼν ἐγρόμενος πρὸς ἡμέραν ᾄδει. — 6. Κάστωρ καὶ Πολυδεύκης διὰ τὴν ἀνδρείαν κέκληνται ἀμφότεροι Διοσκοῦροι.

---

§ 49a. [1] im Deutschen ein Substantiv. — **§ 50a.** [1] Viele Verba, namentlich alle, die eine geistige oder sinnliche Wahrnehmung oder die Äußerung einer solchen Wahrnehmung bezeichnen, nehmen im Griechischen ein Particip zu sich, das im Deutschen durch einen Substantivsatz mit daß zu geben ist.

Verba auf ω, die im Präsens und Imperfekt einen andern Stamm haben als in den übrigen Zeiten.

I. Gramm. § 180.

§. 51. 1. Ἃ ἂν ἄλλοις ἐπιτιμᾶν βουληθῇς, μὴ δόκει αὐτὸς πράττειν. — 2. Ὧν τοῦ σώματος ἀπαλλαγεὶς οὐ δεήσῃ, ἐκείνων καταφρόνει πάντων. — 3. Οἱ Λακεδαιμόνιοι ἐποίουν τοὺς παῖδας ἡσθῆναι τοῖς καλοῖς καὶ ἀχθεσθῆναι τοῖς αἰσχροῖς. — 4. Φασὶ τοὺς ψύλλους πάντα ἰὸν παντὸς ἑρπετοῦ ἐκμυζῆσαι. — 5. Εἰ λύπης ἐθελήσεις κρατεῖν, περιπόλει τοὺς τάφους. — 6. Ὀδυσσεὺς οὐ δεηθεὶς ναυπηγῶν δι' ἑαυτοῦ σχεδίαν εἰργάσατο. — 7. Πολυκράτην φασὶ χαρῆναι τοῖς Ἀνακρέοντος μέλεσιν. — 8. Ὁ Βαῖτις κατ' ἀρχὰς ἐπὶ τὴν ἑσπέραν ῥυεὶς εἶτ' ἐπιστρέφει πρὸς νότον. — 9. Βασιλεῖ[1] τοῦ ὕδατος[2] τοῦ Χοάσπου ἀφηψημένου πολλαὶ ἅμαξαι εἵποντο, ὅπῃ ἐλαύνοι[3] ἑκάστοτε. — 10. Οἱ μετὰ Λεωνίδου οὐδὲ τῷ χιλιοστῷ μέρει τῶν πολεμίων ἴσοι τὸν ἀριθμὸν ὄντες ἐμαχέσαντο πρὸς τὰ ἀπιστούμενα πλήθη.

§ 51 a. 1. Κάτων, καίπερ Σκηπίωνι ζῶντι πολεμῶν, τελευτήσαντος ἠχθέσθη. — 2. Οὐκ ἔστιν αἵρεσις ἡμῖν τοῦ ζῆν, ὅπως ἂν ἐθελήσωμεν, ἀλλ' ἀνάγκη πᾶσα ὑπομένειν ἡμᾶς τὰ δοκοῦντα τῷ δαιμονίῳ. — 3. Φιλίαν κτησάμενος ἄρχων οὐδὲν ἔτι δεήσεται δορυφόρων. — 4. Σύμπασα ἡ Αἴγυπτος δώδεκα μέρη διενενέμητο. — 5. Σωκράτει παιδείας ἀεὶ μεμέληκεν. — 6. Πολλοὶ τῶν ῥητόρων ἐπαινοῦσι μὲν τὴν εὐκαιρίαν, ἐπειδὰν δ' οἰηθῶσιν, ὡς ἔχουσι τι λέγειν, ἀμελοῦσι τοῦ μετριάζειν. — 7. Ἀσκληπιὸς τῷ ἐκ τῶν δεξιῶν φλεβῶν τῆς Γόργονος ῥυέντι αἵματι πρὸς σωτηρίαν ἀνθρώπων ἐχρῆτο. — 8. Φασὶ τοὺς Αἰθίοπας ἐξ αἰῶνος ἐν ἐλευθερίᾳ μεμενηκέναι. — 9. Ὁμονοοῦντες πολῖται ῥᾷον ἂν τοὺς πολεμίους ἀλέξαιντο.

II. Gramm. § 181 u. 182.

§ 52. 1. Μήδιος ἐκέλευε θαρροῦντα δάκνειν ταῖς διαβολαῖς· ὅτι κἂν θεραπεύσῃ τὸ ἕλκος ὁ δεδηγμένος, ἡ οὐλὴ μενεῖ τῆς διαβολῆς. — 2. Οἱ Ῥωμαῖοι τοῖς ἀπὸ τῶν πετρῶν τοῦ Καπιτωλίου ὠσθεῖσι ζῆν, εἰ περιγένοιντο, ἐπέτρεπον. — 3. Τῶν μοχθηρῶν

---

§ 51. [1] dem Perserkönige. [2] Genet. generis von ἅμαξαι abh.: mit. [3] § 45a. 2.

δόξειεν ἂν ἄρχειν πολλάκις τὸ σῶμα τῆς ψυχῆς. — 4. Δία μυθολογοῦσι τὸν αὐτοῦ πατέρα δῆσαι, ὅτι τοὺς υἱεῖς κατέπιεν. — 5. Ἐξ ἧς ἂν ἐξελαθῇ πόλεως[1] δίκη καὶ νόμος, εἰς ταύτην στάσις εἰσπορεύεσθαι φιλεῖ καὶ πόλεμος. — 6. Δευκαλίων ἔγημε Πύρραν τὴν[2] Ἐπιμηθέως καὶ Πανδώρας, ἣν ἔπλασαν θεοὶ πρώτην γυναῖκα. — 7. Ἰνὼ ἐγαμήθη Τηλεγόνῳ τῷ βασιλεύοντι Αἰγυπτίων. — 8. Δεῖ τὰς τῶν πονηρῶν συνουσίας φεύγειν, ἵνα μὴ καὶ αὐτοὶ ἐκείνων τῆς κακίας κοινωνεῖν δόξωμεν. — 9. Αἱ τρίχες αὐξάνονται ἀποτμηθεῖσαι.

§ 52a. 1. Μάρκιος[1] κατὰ Οὐολούσκων ἀριστεύσας πολλοῖς χρήμασι πρὸς τοῦ ὑπάτου τιμώμενος τὰ μὲν ἄλλα διεώσατο, ἠρκέσθη δὲ στεφάνῳ καὶ ἵππῳ πολεμιστηρίῳ. — 2. Ἀνδρείως φέρειν τὰ δόξαντα τῷ δαίμονι καὶ καλὸν καὶ ἀναγκαῖόν ἐστιν. — 3. Ἡρακλῆς Γηρυόνην, πλείστας βοῦς ἔχοντα, ἀπέκτεινεν καὶ τὰς βοῦς ἀπήλασεν. — 4. Σωκράτης μάλα ἱλαρῶς τε καὶ εὐκόλως τὸ κώνειον ἐξέπιεν. — 5. Λέγουσι τοὺς ψύλλους μηδὲν ὑφ' ἑρπετοῦ δηχθέντας βλάπτεσθαι. — 6. Μὴ κάμῃς[2] τοὺς ἁμαρτάνοντας σωφρονίζων[3]. — 7. Δημοσθένης πολλοὺς ἐξήλεγξε τὴν ἐλευθερίαν προπεπωκότας[4] Φιλίππῳ. — 8. Κάλλιόν ἐστι συγγνώμονα εἶναι ἢ τοὺς ἐχθροὺς πειρᾶσθαι τίσασθαι. — 9. Ἤδη πολλοὶ τρόπου προπετείᾳ φθάσαντες τὸν λογισμὸν μεγάλα ἐβλάβησαν[5].

III. Gramm. § 183.

§ 53. 1. Τὸ πῦρ τέχνης ἁπάσης ὄργανόν ἐστι τοῖς χρῆσθαι μαθοῦσιν. — 2. Ἀνταλκίδας πρὸς τὸν[1] Ἀθηναῖον ἀμαθεῖς ἀνακολοῦντα τοὺς Λακεδαιμονίους· Μόνοι γοῦν, ἔφη, ἡμεῖς οὐδὲν μεμαθήκαμεν κακὸν παρ' ὑμῶν. — 3. Φίλιππος ὁ Μακεδὼν ἀπεφαίνετο διὰ χρυσίου πολὺ μᾶλλον ἢ διὰ τῶν ὅπλων ηὐξηκέναι τὴν ἰδίαν βασιλείαν. — 4. Οἱ Ἕλληνες ἐν ἀρχῇ τὰ[2] πρὸς τοὺς βαρβάρους εὐτυχήσαντες καὶ λαμπροὶ φανέντες τὰ λοιπὰ ἐξήμαρτον, φθόνου μᾶλλον καὶ ἀνοίας ἢ ἀρετῆς ἐπίδειξιν ποιούμενοι. — 5. Κρεῖττόν ἐστι τοῖς ποσὶν ὀλισθεῖν ἢ τῇ γλώττῃ. — 6. Οἱ

---

§ 52. [1] verbinde εἰς ταύτην τὴν πόλιν, ἐξ ἧς. [2] ergänze θυγατέρα. — **§ 52a.** [1] Coriolanus. [2] im Deutschen der Imperativ. [3] im Deutschen der Infinitiv. [4] § 50a. 1. [5] § 24. 1. — **§ 53.** [1] im Deutschen der unbestimmte Artikel. [2] in ihren Beziehungen.

Ἀθηναῖοι ἀπήχθηντο ἐν τῇ ἡγεμονίᾳ. — 7. Ξενοφῶν φησιν οὐδένα ᾐσθῆσθαι πώποτε Σωκράτους ψευδομαρτυροῦντος[3] ἢ ἄλλο τι ἄδικον πράττοντος.

§ 53a. 1. Εἴ τις ἐπὶ τῇ τοῦ σώματος ῥώμῃ μέγα φρονεῖ, μαθέτω γνώμης διαμαρτάνων[1]· πόστον γάρ ἐστιν ἀνθρωπίνη ἰσχὺς τῆς τῶν ἄλλων ζῴων δυνάμεως; — 2. Δεῖται ἀλέας ἡ γῆ ὥστε γεννῆσαι τὰ φυόμενα καὶ ὥστε αὐξῆσαι καὶ ὥστε ἐπιτελέσαι. — 3. Πῶς ἂν δίκαιός τις γίγνοιτο, μεμαθηκὼς μὲν ὅτι χρὴ τὸ ἴσον ἀγαπᾶν, μὴ μεμελετηκὼς δὲ φεύγειν τὴν πλεονεξίαν; — 4. Κερκέται, εἴ τις κυβερνῶν διαμάρτοι[2], ἐφεξῆς ἕκαστοι ἐνέπτυον αὐτῷ. — 5. Τῶν ἡμαρτημένων οἱ ἄνθρωποι ἀναμιμνήσκονται μᾶλλον ἢ τῶν κατωρθωμένων. — 6. Οἱ τῶν Περσῶν ἱππεῖς οὐ πρόσθεν ἐνέκλιναν[3], πρὶν Δαρεῖον πεφευγότα[1] ᾔσθοντο. — 7. Οἱ θρυπτικοὶ πάντα πραγματεύονται, ὅπως καταδάρθωσιν.

§ 54. 1. Αἴσωπος Χείλωνος πυθομένου „ὁ Ζεὺς τί ἐστι ποιῶν"· ἀπεκρίνατο „Τὰ μὲν ὑψηλὰ ταπεινοῖ, τὰ δὲ ταπεινὰ ὑψοῖ. — 2. Ἅπαντα δόκει ποιεῖν ὡς[1] μηδένα λήσων. — 3. Πολλῶν ἀδικημάτων γέμοντα τὴν ψυχὴν εἰς Ἅιδου ἀφικέσθαι πάντων ἔσχατον κακόν ἐστιν. — 4. Ὅτι περ Ἕλληνες βαρβάρων παραλάβοιεν[2], κάλλιον τοῦτο εἰς τέλος ἀπειργάζοντο. — 5. Καῖσαρ ἐπιεικεστέραν φύσιν εἰλήχει καὶ οὐ πάνυ ῥᾳδίως ἐθυμοῦτο. — 6. Ἡ Ἰνδικὴ χώρα πολλοῖς διειλημμένη ποταμοῖς ἄρδεται πολλαχοῦ. — 7. Τῶν πρωτείων οὐκ ἂν ἄλλως τύχοιμεν μὴ τοῖς πρώτοις ἁμιλλώμενοι. — 8. Οὐδεὶς ἀγαθὸς ἄξιος θρήνων, εἴ γε μετηλλαχὼς θειότερόν τινα βίον μετείληφεν. — 9. Ὁ τοῦ θανάτου φόβος πιέζει τοὺς γέροντας ὥσπερ ἐπιλελησμένους, ὅτι παντὶ θνητῷ θάνατος ὀφείλεται. — 10. Σωφρονείτω ἕκαστος, ὡς[1] οὕτω τευξόμενος σωτηρίας.

§ 54a. 1. Ξενοφῶν φησιν· Ἐν τῇ Λακεδαίμονι πᾶς ἄν τις αἰσχυνθείη τὸν κακὸν σύσκηνον παραλαβεῖν. — 2. Πολλὰς ἀνάγκη τοὺς εἰληχότας τὸν θνητὸν βίον ὑπομένειν φροντίδας τε καὶ συμφοράς. — 3. Ἐπαμεινώνδαν ὁ Σπίνδαρος ἐπαινῶν ἔφη μήτε πλείονα γιγνώσκοντι μήτε ἐλάττονα φθεγγομένῳ ῥᾳδίως ἐντυχεῖν

---

[3] § 50a. 1. — **§ 53a** [1] § 50a. 1. [2] § 45a. 2. [3] es ist von der Schlacht bei Issos die Rede. — **§ 54.** [1] in der Ueberzeugung, daß. [2] § 45a. 2.

ἑτέρῳ. — 4. Τὸ τοῦ Νείλου Δέλτα πολλαῖς διώρυξι χειροποιήτοις διείληπται· Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν. — 5. Τὸ τῆς γλώττης κρατεῖν[1] εἴ τις μικρὸν καὶ φαῦλον ὑπείληφε, πλεῖστον διαμαρτάνει τῆς ἀληθείας. — 6. Δαίδαλος ληφθεὶς ὑπὸ Μίνω διὰ τὴν σοφίαν ἠναγκάζετο ἐκείνῳ δουλεύειν. — 7. Τῶν παιδείας ἀληθῶς τετυχηκότων οὐδ' ἂν εἷς λέγοι μέγα περὶ αὑτοῦ. — 8. Διογένης ἀφικόμενος εἰς τὴν Ἑλλάδα διῆγε ποτὲ μὲν ἐν Κορίνθῳ, ποτὲ δὲ Ἀθήνησιν.

IV. Gramm. § 184 u. 185.

§ 55. 1. Ἤδη πολλοὶ δεσπόται βίᾳ ὑπὸ τῶν δούλων ἀπέθανον. — 2. Ξενοφῶν φησιν· Οὐκ ἂν ῥᾳδίως γέ τις εὕροι Σπαρτιατῶν οὔτε ὑγιεινοτέρους οὔτε τοῖς σώμασι χρησιμωτέρους. — 3. Τὸν Ὡρόν φασιν οἱ Αἰγύπτιοι τήν τε ἰατρικὴν καὶ τὴν μαντικὴν ὑπὸ τῆς μητρὸς Ἴσιδος διδαχθέντα διὰ τῶν χρησμῶν καὶ τῶν θεραπειῶν εὐεργετεῖν τὸ τῶν ἀνθρώπων γένος. — 4. Οὐ μόνον, ὡς ἔοικεν, ὁ γέρων δὶς παῖς γίγνοιτ' ἄν, ἀλλὰ καὶ ὁ μεθυσθείς. — 5. Παρὰ τοῖς Αἰγυπτίοις αἱ τῶν ἄστρων παρατηρήσεις εὑρῆσθαι λέγονται. — 6. Ἀνδρίας[1] ἐστὶ τὸ[2] μᾶλλον αἱρεῖσθαι τεθνάναι καλῶς ἢ αἰσχρῶς σωθῆναι. — 7. Λέγουσι Πρίαμον κατατρωθέντα παρὰ τὸν τοῦ Διὸς βωμόν, ἀφ' οὗ τὸ γένος ἦν, ἐπ' αὐτῷ σφαγῆναι. — 8. Μέμνησο τῶν εὖ ποιησάντων. — 9. Ὡς λαμπρόν ἐστιν εὖ ποιεῖν, οὕτως ἀμειπτέον, ἵνα μὴ ἀχαριστίας ὄφλῃ τις δίκην.

§ 55a. 1. Διὰ τῶν ἀμεινόνων ἅπασαι αἱ ὠφέλειαι τοῖς ἀνθρώποις εὕρηνται. — 2. Ἡ ἱστορία τοῖς νεωτέροις τὴν τῶν γεγηρακότων περιποιεῖ σύνεσιν. — 3. Χαλεπὸν ὕβρει τρεφομένῃ δι' ἐξουσίαν ὅρον τινὰ εὑρεῖν, ὃν οὐκ ἂν ἔτι τολμήσαι[1] διὰ φόβον ὑπερβαίνειν. — 4. Παῦλος Αἰμίλιος νικήσας τὸν Περσέα, χρημάτων ἀπείρων εὑρεθέντων, αὐτὸς οὐδὲν ἔλαβεν. — 5. Τυδεὺς ἐπὶ Θήβας μετ' Ἀδράστου στρατευσάμενος ὑπὸ Μελανίππου τρωθεὶς ἀπέθανεν. — 6. Τεθνάναι πολλῷ κρεῖττον ἢ δι' ἀκράτειαν τὴν ψυχὴν διαφθεῖραι. — 7. Ὅμηρος οὐδ' ἐμνήσθη ἑαυτοῦ ἐν τῇ ποιήσει. — 8. Μέμνησθε, ὅτι ἡ ἐμπειρία καὶ τοὺς ἀπαιδεύτους λόγου τινὸς ἀξίους δοκεῖ ποιεῖν. — 9. Ἤδη πολλοὶ ἄριστά[2] τινα διώκοντες μωρίαν, ὅτι οὐ κατέτυχον αὐτῶν, ὦφλον.

---

§ 54a. [1] § 26a. 1. — **§ 55.** [1] § 14. 2. [2] bleibt unübersetzt. — **§ 55a.** [1] Potentialis. [2] hohe Ziele.

V. Gramm. § 186.

§ 56. 1. *Δεινὴ ἡ τύχη παρελέσθαι τὰ προπεπονημένα.* — 2. *Λυκοῦργος τοῖς ἐλευθέροις τῶν ἀμφὶ χρηματισμὸν ἀπεῖπε μηδενὸς ἅπτεσθαι.* — 3. *Ὁ φιλόσοφος Πλάτων ἐν τῷ Φαίδωνι περὶ τῆς ἀθανασίας εἴρηκεν.* — 4. *Ὁ μετὰ λόγου ἐπιχειρῶν κολάζειν οὐ τοῦ παρεληλυθότος ἕνεκα ἀδικήματος τιμωρεῖται, ἀλλὰ τοῦ μέλλοντος χάριν.* — 5. *Ἑλοίμην ἂν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν.* — 6. *Λέγουσι τὸν Ὄσιριν ὑπὸ Τυφῶνος ἀναιρεθῆναι τοῦ ἀδελφοῦ, τὴν δὲ Ἶσιν, ἀδελφὴν οὖσαν Ὀσίριδος καὶ γυναῖκα, μετελθεῖν τὸν φόνον.* — 7. *Τὸ ῥηθὲν ὑπὸ τοῦ ἱπποκόμου χαρίεν, ὡς οὐδὲν οὕτω πιαίνει τὸν ἵππον ὡς δεσπότου ὀφθαλμός.* — 8. *Οὐδεὶς οὐσίαν, ἣν αὐτὸς ἐκτήσατο, κατέφαγεν, ἣν δὲ*[1] *παρ' ἄλλου παρέλαβεν.* — 9. *Ἔνιοί φασιν ἐν τῇ Λιβύῃ εὑρεῖν ὀστᾶ βοῶν πολλῶν, αἱ ὑπ' ὄφεων ἦσαν κατεδηδεσμένα.*

§ 56a. 1. *Λυκοῦργος τοὺς βασιλέας διμοιρίᾳ ἐπὶ τῷ δείπνῳ ἐτίμησεν, οὐχ ἵνα διπλάσια καταφάγοιεν, ἀλλ' ἵνα καὶ ἀπὸ τοῦδε τιμῆσαι ἔχοιεν, εἴ τινα βούλοιντο*[1]. — 2. *Τὸ μὲν σιγηθὲν ἐξειπεῖν ῥᾴδιον, τὸ δὲ ῥηθὲν ἀναλαβεῖν ἀδύνατον.* — 3. *Διογένης ἔλεγε τοὺς ἀνθρώπους εἰς πόλεις συνελθόντας, ὅπως ὑπὸ τῶν ἔξωθεν μὴ ἀδικῶνται, τοὐναντίον αὑτοὺς ἀδικεῖν, ὥσπερ*[2] *ἐπὶ τοῦτο συνεληλυθότας.* — 4. *Φάβιος Μάξιμος ἤλπιζεν, εἰ μὴ μάχοιτο, ταχὺ τὴν δύναμιν τοῦ Ἀννίβα παρατεινομένην ἀπερεῖν.* — 5. *Ὅσῳ ἂν μείζω καὶ δυνατώτερόν τις ἀνταγωνιστὴν καθέλῃ, τοσούτῳ καὶ αὐτὸς ἐπὶ μεῖζον αἴρεται.* — 6. *Πολλὰ σοφὰ καὶ θεῖα εἰρηκὼς Ὅμηρος οὐδὲν σοφώτερον ἔφη τούτου τοῦ ἔπους, ὡς οὐδὲν γλύκιον ἧς*[3] *πατρίδος.*

§ 57. 1. *Θεόκριτος ἐρωτηθεὶς ὑπὸ ἀδολέσχου, ὅπου αὐτὸν αὔριον ὄψοιτο „ὅπου, ἔφη, ἐγώ σε οὐκ ὄψομαι“.* — 2. *Παλαμήδης πολὺ τῶν ἐφ' ἑαυτοῦ ὑπερέσχε σοφίᾳ.* — 3. *Οὐχ ὁμοίως ῥᾴδιον ἰδεῖν τό τε τῆς ψυχῆς κάλλος καὶ τὸ τοῦ σώματος.* — 4. *Ὅταν λεχθῇ τι μὴ ἀληθές, οὐ δεῖ καταφρονεῖν, ἀλλὰ σκοπεῖν, τί τῶν ὑπὸ σοῦ λεγομένων καὶ πραττομένων ὁμοιότητα τῇ διαβολῇ παρέσχηκεν.* — 5. *Φωκίων ὑπ' οὐδενὸς οὔτε γελῶν ὤφθη οὔτε δακρύων.*

---

§ 56. [1] sondern. — **§ 56a.** [1] § 45a. 2. [2] als ob. [3] von dem in Prosa ungebräuchlichen *ὅς, ἥ, ὅν* = suus.

— 6. Ὁ ἀεὶ τρυφῶν ἄνθρωπος τελευτῶν[1] πόνον μὲν οὐκ ἂν οὐδένα ἀνάσχοιτο, ἡδονῆς δὲ οὐδεμιᾶς ἂν αἴσθοιτο οὐδὲ τῆς σφοδροτάτης. — 7. Καῖσαρ Φαρναβάκην νικήσας ἐξ ἐφόδου πρὸς τοὺς φίλους ἔγραψεν· Ἦλθον, εἶδον, ἐνίκησα.

§ 57a. 1. Ὁ λοιδορήσας τὸν ἑτέρου βίον, ἐὰν εὐθὺς ἐπισκοπῇ τὸν ἑαυτοῦ καὶ μεθαρμόττῃ, ἕξει τι χρήσιμον ἐκ τοῦ λοιδορεῖν[1]. — 2. Ὁ μετ' αἰδοῦς ἀκούειν ἐθισθεὶς τὸν μὲν ὠφέλιμον λόγον ἐδέξατο[2] καὶ κατέσχε, τὸν δὲ ἄχρηστον ἢ ψευδῆ μᾶλλον διεῖδε καὶ κατεφώρασεν. — 3. Ἔνιοί φασιν οὐ πύλας ἑκατὸν ἐσχηκέναι Θήβας, ἀλλὰ πολλὰ καὶ μεγάλα προπύλαια τῶν ἱερῶν, ἀφ' ὧν ἑκατομπύλους ὠνομάσθαι. — 4. Ἆγις πυθομένου τινός, πόσοι εἰσὶν οἱ Λακεδαιμόνιοι· Πολλοί σοι, ἔφη, δοξοῦσιν εἶναι, ἐὰν αὐτοὺς ἴδῃς μαχομένους. — 5. Ὁ ἀδύνατος ὀργὴν κατασχεῖν, πολλάκις ὑπὲρ μικρῶν γιγνομένην, πῶς οὐκ ἄνανδρος σφόδρα; — 6. Μετὰ τοιούτων βαδίζειν δεῖ, μεθ' ὧν ὀφθεὶς[3] τὴν αὐτὴν χρόαν τηρήσεις. — 7. Ἐπίσχες ὀργιζόμενος· ὀργὴ γὰρ ἡμᾶς δρᾶν ἀναγκάζει κακά. — 8. Ὁ λαγὼς πηδᾷ· βαδίζοντα δὲ οὐδεὶς ἑώρακεν οὐδ' ὄψεται.

§ 58. 1. Ὑπὸ Σωκράτους εὖ πεπονθέναι πολλοὶ πολλὰ ὡμολόγουν. — 2. Λυκοῦργος ἐνόμιζε πηδῆσαι καὶ δραμεῖν θᾶττον ἀνυπόδετον, εἰ ἠσκηκὼς εἴη τοὺς πόδας, ἢ ὑποδεδεμένον. — 3. Αἰνείας σώσας τὸν πατέρα δόξαν εὐσεβείας ἐξηνέγκατο. — 4. Ὑφ' ὧν ἄν τις σφόδρα κακῶς πάθῃ, πρὸς τούτων καὶ εὖ πείσεσθαι, βουλομένων[1] γε εὖ ποιῆσαι, οὐχ ἐλάχιστα πιστεύει. — 5. Οἱ Ἕλληνες ἐμυθολόγουν Ἡρακλέα τῇ τοῦ σώματος ῥώμῃ καὶ ἀλκῇ πολλῷ[2] τῶν ἄλλων ἀνθρώπων διενεγκεῖν. — 6. Δίκαιόν ἐστιν ἀποφαίνεσθαι μὲν ἕκαστον, ὃ δοκεῖ τῷ κοινῷ συνοίσειν, πείθεσθαι δὲ τοῖς ὑπὸ τῶν πλειόνων κριθεῖσιν. — 7. Διενεχθέντων πολιτῶν καὶ τῶν μὲν ταῦτα, τῶν δὲ ἐκεῖνα ἑλομένων, τάχ' ἂν κρατήσειαν οἱ πολέμιοι.

§ 58a. 1. Οἱ προῖκα εὖ πεπονθότες, οὗτοι ἀεὶ ἡδέως ὑπηρετοῦσι τῷ εὐεργέτῃ καὶ διότι εὖ ἔπαθον καὶ διότι προεπιστεύθησαν ἄξιοι εἶναι παρακαταθήκην χάριτος φυλάττειν. — 2. Εἰ συνεισε-

§ 57. [1] am Ende. — § 57a. [1] § 26a. 1. [2] gnomischer Aorist. § 29a. 2. — [3] mit falls aufzulösen. — § 58. [1] mit falls aufzulösen. [2] weitaus.

νέγκοιμεν[1] *εἰς τὸ κοινὸν τὰς ἀτυχίας, ὥστε διελέσθαι τὸ ἴσον ἕκαστον, ἀσμένως ἂν οἱ πλείους τὰς αὑτῶν λαβόντες ἀπέλθοιεν.* — 3. *Ἐν τῇ θήρᾳ ἱππεῦσαι καὶ δραμεῖν ἀναγκαῖον καὶ καῦμα ἀνέχεσθαι καὶ ψῦχος ὑπομένειν.* — 4. *Οὐδὲν δεινὸν πείσει, ἐὰν τῷ ὄντι*[2] *ᾖς καλὸς κἀγαθός.* — 5. *Δίων φησίν· Αἰσχρὸν τοῖς ὑπὸ θεῶν ᾠκισμένοις, εἰ μὴ διοίσουσί τι τῶν ἄλλων εὐσεβείᾳ.* — 6. *Σέλουρός τις λεηλασίαις πυκναῖς καταδεδραμηκὼς τὰ κύκλῳ τῆς Αἴτνης πολὺν χρόνον εἰς τὴν Ῥώμην ἀναπεμφθεὶς διεσπάσθη ὑπὸ θηρίων.*

§ 59. 1. *Ὅταν πολὺς σῖτος καὶ οἶνος γένηται, ἀξίων ὄντων*[1] *τῶν καρπῶν ἀλυσιτελεῖς αἱ γεωργίαι γίγνονται.* — 2. *Πολλάκις ὑπ᾽ ἔχθρας προσπεσοῦσα λοιδορία κακὸν ψυχῆς ἀμελούμενον ἐθεράπευσεν.* — 3. *Ἡ τῶν γεγενημένων πράξεων μνήμη τῆς περὶ τῶν μελλόντων εὐβουλίας γίγνεται παράδειγμα.* — 4. *Λέγουσιν Αἰγύπτιοι τὴν Ἶσιν φαρμάκων πολλῶν πρὸς ὑγίειαν εὕρετιν γεγονέναι.* — 5. *Ἀννίβας τρεῖς μεδίμνους Ἀττικοὺς πλήρεις χρυσῶν δακτυλίων ἐς τὴν Λιβύην ἀπέπεμψεν, οὓς τοῖς ἱππικοῖς τε καὶ βουλευτικοῖς ἀνδράσι σκυλεύσας τὰ σώματα τῶν πεπτωκότων ἀνῄρητο*[2]. — 6. *Σωκράτης ἐρωτηθεὶς ὑπό τινος, πῶς ἂν γένοιτό τις πλούσιος· „εἰ τῶν ἐπιθυμιῶν, ἔφη, εἴη*[3] *πένης“.* — 7. *Μαχεῖται πᾶν ζῷον διαφερόντως παρόντων ὧν*[4] *ἂν τέκῃ.* — 8. *Σωκράτης τῶν ἑταίρων ἐκκλέψαι*[5] *βουλομένων αὐτὸν οὐκ ἐπέσπετο.*

§ 59a. 1. *Οἱ ἄφρονες πράγμασιν ἀβουλήτοις περιπεσόντες διδάσκονται τὸ χρήσιμον.* — 2. *Ὅταν τινὲς ἐς πολλὰς ἅμα καὶ δυσχερεῖς πράξεις ἐμπέσωσι, τῶν ἔργων καὶ τὰ πάνυ ῥᾴδια ἀπογιγνώσκουσιν.* — 3. *Ὅμηρος τὸν Μίνω, μεγίστην ἔχοντα δόξαν ἐπὶ δικαιοσύνῃ, τοῦ Διὸς ὁμιλητὴν ἔφη γενέσθαι.* — 4. *Τοὺς πρεσβυτάτους ταῖς ἡλικίαις ἅπαντες τῶν νεωτέρων προκρίνουσιν ἐν ταῖς συμβουλίαις διὰ τὴν ἐκ τοῦ χρόνου περιγεγενημένην αὐτοῖς ἐμπειρίαν.* — 5. *Βροῦτος καὶ Κάσσιος ἔλεγον μὲν ἐλευθερωταὶ τοῦ δήμου γεγονέναι· τὸ δὲ ἀληθὲς*[1] *τὴν πόλιν ὀρθῶς ἤδη πολιτευομένην ἐστασίασαν.* — 6. *Πύρρος τοὺς πεπτωκότας Ῥωμαίους ἐπιμελῶς ἔθαψεν, θαυμάζων, ὅτι ἐναντία πάντες ἔφερον τραύματα.* —

---

§ **58a.** [1] § 25a. 3. [2] in Wahrheit. — § **59.** [1] mit da aufzulösen. [2] nach der Schlacht bei Cannä nämlich. [3] § 25a. 3. [4] für *τούτων, ἅ.* [5] aus dem Gefängnisse. — § **59a.** [1] in Wahrheit aber.

7. *Πᾶς νοῦν ἔχων τιμᾷ τὴν τεκοῦσαν καὶ τὸν φύσαντα.* — 8. *Δεῖ ἡμᾶς τοῖς δεδοκιμασμένοις ἐπισπέσθαι.*

Verbum auf *μι*. Aktiv.

Präsens und Imperfekt von *ἵστημι, τίθημι, ἵημι, δίδωμι.*

§ 60. 1. *Πάντες αἰτοῦνται τοὺς θεοὺς τὰ μὲν φαῦλα ἀποτρέπειν, τἀγαθὰ δὲ διδόναι.* — 2. *Ἐάν τις μείζονα διδῷ τοῖς ἐλάττοσι, παριεὶς τὸ μέτριον, ἀνατρέπεταί που πάντα.* — 3. *Ὁ Νεῖλος ποταμὸς ἐξίησι εἰς τὴν θάλατταν ἑπτὰ στόμασιν.* — 4. *Δεῖ τοὺς ἀγαθοὺς ἄνδρας φέρειν, ὅ ἂν ὁ θεὸς διδῷ, γενναίως.* — 5. *Εἰ βούλει πλούσιόν τινα ποιῆσαι, μὴ χρήμασι προστίθει, τῆς δὲ ἐπιθυμίας ἀφαίρει!* — 6. *Οἱ Λακεδαιμόνιοι τοὺς ἐνδοξοτάτους τῶν πολιτῶν φύλακας τῶν βασιλέων καθίστασαν.* — 7. *Τὴν σαυτοῦ σωφροσύνην παράδειγμα τοῖς ἄλλοις καθίστη!* — 8. *Διογένης κατεφρόνει τῆς τύχης, ὡς*[1] *πολλὰ μὲν βέλη ἐφιείσης αὐτῷ ὡς σκοπῷ, τυχεῖν δὲ ἀδυνατούσης.* — 9. *Ἑκὼν σαυτὸν τῇ Κλωθοῖ ἐπιδίδου, παρέχων*[2] *συννῆσαι, οἷς τισί ποτε πράγμασι βούλεται.* — 10. *Ἀσκλήπιος ἔτυχε παρὰ θεῶν ἀνιστάναι μὲν τεθνεῶτας, νοσοῦντας δὲ ἰᾶσθαι.* — 11. *Ὁ Διόνυσος πλείστην ἐλευθερίαν τῇ γλώσσῃ δίδωσιν.* — 12. *Οἱ ψευδόμενοι, ὅ,τι ἂν μάλιστα κρύψαι θέλωσιν, οὐκ ἐν τῇ αὐτοῦ χώρᾳ τιθέντες*[3] *λέγουσι, ἀλλ' ὡς ἂν λάθοιεν μάλιστα.*

§ 60 a. 1. *Ὁ ἄδικος πάντως μὲν ἄθλιος, ἀθλιώτερος μέντοι, ἐὰν μὴ διδῷ δίκην.* — 2. *Ὁ ἀγαθὸς στρατηγὸς, ἀεὶ τιθεὶς τὰ*[1], *τῶν φίλων ἀσφαλῶς, ἀεὶ ἀμαυροῦν τὰ τῶν πολεμίων ἔργον ἔχει.* — 3. *Θησεὺς μὲν τὸν δῆμον καθίστη κύριον τῆς πολιτείας, οἱ*[2] *δὲ μόνον αὐτὸν ἄρχειν ἠξίουν.* — 4. *Ἡ ὀργὴ, φυσῶσα τὸ πρόσωπον ἀπρεπῶς, ἔτι μᾶλλον αἰσχρὰν ἀφίησι καὶ ἀτερπῆ φωνήν.* — 5. *Λαομέδων Ἀπόλλωνι καὶ Ποσειδῶνι τειχίσασι τὸ Πέργαμον τὸν μισθὸν οὐκ ἀπεδίδου.* — 6. *Οὐκ ἂν τὰ χωρία οὔτε εὐτυχίαν οὔτε κακοδαιμονίαν διδοίη, ἀλλὰ αὐτὸς ἕκαστος αὐτῷ ἢ εὐδαιμονίαν ἢ ἀτυχίαν ἀεὶ καὶ πανταχοῦ ποιεῖ.* — 7. *Ὁ χρόνος τἄλλα*

---

§ 60. [1] *ὡς* in der Ueberzeugung, daß. [2] mit indem aufzulösen. [3] mit indem. — § 60a. [1] die Verhältnisse, die Lage. [2] = *οἱ πολῖται.*

παντ' ἀφαιρῶν τῷ γήρᾳ προστίθησι τὴν ἐπιστήμην. — 8. *Τῇ Ἴσιδι κέρατα ἐπιτιθέασιν ἀπὸ τῆς καθιερωμένης αὐτῇ βοός.* — 9. *Ἡ κολακεία τὰ τῆς ἀρετῆς ἆθλα τῇ κακίᾳ δίδωσιν.* — 10. *Τῷ ἀκράτως καὶ ἀπαραμυθήτως πλημμελεῖ καὶ κακῷ ἐφιέναι δεῖ τὴν ὀργήν.*

Zweiter Aorist.

§ 61. 1. *Πολλοὶ τῆς ἀλλοτρίας*[1] *ἀδίκως ἐπιθυμήσαντες περὶ τῆς αὑτῶν δικαίως εἰς τοὺς μεγίστους κινδύνους κατέστησαν.* — 2. *Λυκοῦργος ἐπὶ τῷ τέρματι τοῦ βίου τὴν κρίσιν τῆς γεροντίας προσθεὶς*[2] *ἐποίησε μηδὲ ἐν τῷ γήρᾳ ἀμελεῖσθαι τὴν καλοκἀγαθίαν.* — 3. *Οἱ Ἀχαιοὶ Αἰνείᾳ μόνῳ ὧν*[3] *ἐκράτησαν ἐν Τροίᾳ ἔδοσαν μὴ συληθῆναι.* — 4. *Αἱ ἀμαθεῖς κύνες ἐν τῇ θήρᾳ μηδὲν συνεῖσαι μηδὲ γνωρίσασαι ἴχνος ἐξαπατῶσιν ἄλλας τῇ φωνῇ καὶ τῷ σχήματι καὶ πολλαὶ συνέπονται αὐταῖς.* — 5. *Ἔνιοι λέγουσι Κάστορα καὶ Πολυδεύκη διὰ τὴν ὑπερβολὴν τῆς ἀρετῆς Διὸς υἱοὺς νενομίσθαι καὶ ἐξ ἀνθρώπων μεταστάντας τιμῶν τυχεῖν ἀθανάτων.* — 6. *Ὃ ἂν ἄλλῳ δῷ τις, τούτου κύριος οὐκέτ' ἐστίν.* — 7. *Ἀρχίδαμος ὁ τῶν Λακεδαιμονίων βασιλεὺς θεασάμενος τὸν παῖδα ἄγαν προπετῶς μαχόμενον εἶπεν „Ἢ τῇ δυνάμει πρόσθες ἢ τοῦ θράσους ἄφελε".*

§ 61a. 1. *Ὁ ἀληθῶς*[1] *βασιλεὺς τοῖς ἄλλοις μεταδίδωσι τῆς αὑτοῦ εὐδαιμονίας, οὐ δίχα θεὶς τό τε αὑτοῦ καὶ τὸ τῶν ἀρχομένων συμφέρον.* — 2. *Ὅμηρός φησι τοῦ πλούτου μέγιστον εἶναι ἀγαθὸν τὸ*[2] *δοῦναι ξένοις.* — 3. *Ὁ περὶ τῶν ἐσχάτων κίνδυνος ἱκανὸς θάρσος ἐνθεῖναί τινι καὶ μὴ προϋάρχον*[3] *φύσει.* — 4. *Ἔνιοι τῶν στρατηγῶν τὰς σκηνὰς καὶ σκευοφόρα κατακαύσαντες ἀνάγκην ἐπέθεσαν τοῖς σφετέροις ἐκ τῆς πολεμίας*[4]*, ὅσων δέονται, λαμβάνειν.* — 5. *Βρασίδας ἐν μάχῃ διὰ τῆς ἀσπίδος ἀκοντισθείς, πυθομένου τινός, πῶς ἐτρώθη „Προδούσης με τῆς ἀσπίδος", εἶπεν.* — 6. *Εὔηθες ὑπάρχει τὸ ἀφανὲς ἀγαθὸν ζητεῖν, ἀφέντα τὸ φανερόν.* — 7. *Ἄργος ὁ Ἀγήνορος Σάτυρον τοὺς Ἀρκάδας ἀδικοῦντα ὑποστὰς ἀπέκτεινεν.* — 8. *Πιττακὸς ἔφη· Παρακαταθήκην λαβὼν δικαίως ἀπόδος.* — 9. *Μὴ δῷς*[5] *ὑπερηφανείᾳ τὴν ψυχήν.*

---

§ 61. [1] ergänze *χώρας*. [2] mit **dadurch, daß** aufzulösen. [3] vor *ὧν* ergänze *τούτων*. — **§ 61a.** [1] = *ἀληθής*. [2] bleibt unübersetzt. [3] mit **wenn** aufzulösen. [4] ergänze *γῆς*. [5] im Deutschen der Imperativ.

Die übrigen Zeiten des Aktivs.

§ 62. 1. Ἀγησίλαος ἀσκῆσαι τὸ στράτευμα βουλόμενος ἆθλα προύθηκεν. — 2. Ἀχιλλεὺς ἐν τῇ Χείρωνος παιδείᾳ τραφεὶς οὕτω καλὰ καὶ μεγάλα μνημεῖα παρέδωκεν, ὥστε οὔτε λέγων[1] οὔτε ἀκούων περὶ ἐκείνου οὐδεὶς ἀπαγορεύει. — 3. Τῶν ζῳοφάγων θηρίων καὶ τῶν καρποφάγων οἱ βίοι πλεῖστον[2] διεστᾶσιν. — 4. Ἀλέξανδρος καταλύσας τὸ ναυτικὸν ἐπὶ Καρίας ἐστέλλετο, ὅτι ἐν Ἁλικαρνασσῷ συνεστηκέναι οὐ φαύλην δύναμιν τῶν τε βαρβάρων καὶ τῶν ξένων ἐπήγγελτο. — 5. Οἱ γραφεῖς ποταμοὺς ἐνίοτε γράφουσιν ἀνδράσιν ὁμοίους, γένειον πολὺ καθεικότας. — 6. Ἀνδριὰς μὲν ἐπὶ βάσεως, σπουδαῖος δὲ ἀνὴρ ἐπὶ καλῆς προαιρέσεως ἑστὼς ἀμετακίνητος ὀφείλει εἶναι. — 7. Ξέρξης τὴν γῆν ἐποίησε θάλατταν, διαστήσας ἀπὸ τῆς ἠπείρου τὸν Ἄθω. — 8. Τὸν ἄξιον προεστάναι δεῖ ταῖς ἄκραις ὅμοιον εἶναι, αἵτινες ἅπασαν ἐκδέχονται τὴν βίαν τῆς θαλάττης ἀκίνητοι οὖσαι.

§ 62a. 1. Λυκοῦργος ἐφῆκε κομᾶν τοῖς ὑπὲρ τὴν ἡβητικὴν ἡλικίαν. — 2. Πᾶσαν κοινωνίαν ὁρῶμεν ἀγαθοῦ τινος ἕνεκα συνεστηκυῖαν[1]. — 3. Τίς ἀσθενὴς φύσις οὐ τοῖς γυμνασαμένοις εἰς ἰσχὺν ἐπέδωκεν; — 4. Ἡ ὀργὴ ἀνατρέψαι μὲν δυνατή ἐστιν καὶ διαφθεῖραι, ἀναστῆσαι δὲ καὶ σῶσαι πρᾳότητός[2] ἐστιν. — 5. Λυκοῦργος ἔθηκε θύειν βασιλέα πρὸ τῆς πόλεως τὰ δημόσια πάντα. — 6. Τὸν χρηστὸν καὶ ἀγαθὸν ἄνδρα δεῖ τῶν μὲν προγεγενημένων μεμνῆσθαι, τὰ δὲ ἐνεστῶτα πράττειν, περὶ δὲ τῶν μελλόντων φυλάττεσθαι. — 7. Πεισίστρατος τόν τε δῆμον κατέλυσε καὶ τύραννον αὑτὸν κατέστησεν. — 8. Ἐπ' ἐκείναις ταῖς διατριβαῖς ἔθιζε σεαυτὸν χαίρειν, ἐξ ὧν αὐτός τ' ἐπιδώσεις καὶ τοῖς ἄλλοις βελτίων εἶναι δόξεις. — 9. Οἱ Ἀθηναῖοι ὥσπερ ἀγῶνα προτεθεικότες τοῖς ἄμεινον τὴν πόλιν λοιδωρήσουσι τῶν κωμῳδῶν ἤκουον.

---

§ 62. [1] im Deutschen der Infinitiv. [2] im Deutschen das Adverb. — **§ 62a.** [1] § 50a. 1. [2] § 14. 2.

Medium und Passiv.

Präsens und Imperfekt.

§ 63. 1. *Οἱ λαγῷ προλαμβάνοντες τὰς κύνας ἐφίστανται καὶ ἀνακαθίζοντες ἐπαίρουσιν ἑαυτοὺς καὶ ἐπακούουσιν, εἴ που πλησίον κλαγγὴ ἢ ψόφος τῶν κυνῶν.* — 2. *Τῶν ἁμαρτανόντων ἀνήκεστοί εἰσιν οἱ πρὸς τοὺς νουθετοῦντας ἐχθρῶς διατιθέμενοι.* — 3. *Οἱ Αἰγύπτιοι ἐμυθολόγουν τὴν Ἶσιν κατὰ τοὺς ὕπνους ἐφισταμένην διδόναι τοῖς κάμνουσι βοηθήματα πρὸς τὰς νόσους.* — 4. *Ὑπὸ δέους κοινοῦ συνίστασθαι φιλεῖ πάντα τὰ διάφορα.* — 5. *Ἀγησίλαος πονῶν μὲν ἠγάλλετο, ῥᾳστώνην δὲ πάμπαν οὐ προσίετο.* — 6. *Καθάπερ ἐν εὐδίᾳ τὰ πρὸς τὸν χειμῶνα προσήκει παρασκευάζειν, οὕτως ἐν νεότητι τὴν εὐταξίαν καὶ σωφροσύνην ἐφόδιον εἰς τὸ γῆρας ἀποτίθεσθαι.* — 7. *Ὁμοίως αἰσχρὸν ἀκούσαντα χρήσιμον λόγον μὴ μαθεῖν καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν φίλων μὴ λαβεῖν.* — 8. *Οἱ δειλοὶ τοὺς μὲν θαρραλέους ὑφορῶνται καὶ μισοῦσι, τοὺς δὲ ἀγενεῖς προσίενται καὶ ἀγαπῶσιν.*

§ 63 a. 1. *Συγγνώμη καὶ παρὰ θεῶν καὶ παρ' ἀνθρώπων δίδοται τοῖς ἀκούσιόν τι πράξασιν.* — 2. *Αἱ εὐπραγίαι, ἐπειδὰν ἔξω τοῦ συμμέτρου τισὶ γένωνται, συμφορῶν αὐτοῖς αἴτιοι καθίστανται.* — 3. *Σκηπίων ἦν ἐς μὲν τοὺς ἀνθισταμένους αὐτῷ φοβερός, ἐς δὲ τοὺς ὑπείκοντας φιλάνθρωπος.* — 4. *Λυπούμενοι τὸν λόγον τὸν ἀπαλλάττοντα ἡμᾶς τῆς ἀλγηδόνος οὐ προσιέμεθα.* — 5. *Ἀγησίλαος, ὅπου ᾤετο τὴν πατρίδα τι ὠφελήσειν, οὐ πόνων ὑφίετο, οὐ κινδύνων ἀφίστατο, οὐ γῆρας προὐφασίζετο.* — 6. *Ὅμηρος ἄνευ θεοῦ οὐδὲν ὑποτίθεται περαινόμενον*[1]. — 7. *Τῆς ψευδοῦς εὐδαιμονίας ἀφίστασο!* — 8. *Ἐάν τις τοὺς πόνους δέχηται καταφρονῶν, οὐ πάνυ ἰσχύουσι πρὸς αὐτόν· ἐὰν δὲ ἀφιστῆται καὶ ἀναχωρῇ, τῷ παντὶ*[2] *μείζους καὶ σφοδρότεροι δοκοῦσιν.*

Aorist II. des Mediums.

§ 64. 1. *Σόλων τοὺς νόμους ἐς τοὺς ἄξονας κατέθετο.* — 2. *Αἱ ἑκούσιοι δωρεαὶ τοῖς τε προεμένοις ἡδίους τῶν ἠναγκασμένων*

---

§ 63 a. [1] § 50a. 1. [2] § 34. 3.

εἰσὶ καὶ τοῖς λαμβάνουσι βεβαιότεραι. — 3. Ἐπαμεινώνδας τὸν ὑπασπιστὴν αἰσθόμενος εἰληφότα[1] χρήματα πολλὰ παρ' ἀνδρὸς αἰχμαλώτου γεγονότος· „Ἐμοὶ μέν, εἶπεν ἀπόδος τὴν ἀσπίδα, σεαυτῷ δὲ πρίω καπηλεῖον." — 4. Ἡ Γῆ ἔπεισε τοὺς Τιτᾶνας ἐπιθέσθαι τῷ πατρί. — 5. Χρήματα μὲν ἔστι κτήσασθαι, δόξαν δὲ χρημάτων οὐ δυνατὸν πρίασθαι. — 6. Οἱ κηφῆνες διαρπάζουσι τῶν μελιττῶν, ἃ ἂν ἐκεῖναι ἐργασάμεναι τροφὴν[2] καταθῶνται. — 7. Πρὸς τὸ γῆρας ἐφόδια παράθου παιδείαν. — 8. Πόσου[2] ἂν πρίαιο, ἀληθεῖ φίλῳ περιτυχεῖν; — 9. Λακεδαιμόνιοι Μεσσηνίων κρατήσαντες τοὺς μὲν τῶν ἀνδρῶν ἀπέδοντο, τοὺς δὲ ἀπέκτειναν. — 10. Ἀλόγιστοι εἴημεν ἄν, εἰ δι' ἐλπίδα μειζόνων πραγμάτων τὰ ἐν χερσὶν ὄντα προείμεθα[3].

§ 64a. 1. Ὅσῳ ἂν πλείω τις παραθῆται τὰ περιττὰ τῶν ἱκανῶν, τοσούτῳ θᾶττον κόρος ἐμπίπτει τῆς ἐδωδῆς. — 2. Οἱ σὺν Ἀππίῳ Κλαυδίῳ δέκα ἄνδρες ὅρκια τεμόντες ἀπόρρητα τῷ πλήθει, συνθήκας σφίσιν αὐτοῖς ἔθεντο περὶ μηδενὸς ἀλλήλοις ἐναντιοῦσθαι. — 3. Ἄργος Ἀθηνᾶς ὑποθεμένης πεντήκορον ναῦν κατεσκεύασε, τὴν Ἀργώ. — 4. Θεμιστοκλῆς Ἀθηναίους ἠνάγκασε τὴν πόλιν προεμένους τοῖς βαρβάροις καὶ θεῶν ἱερὰ καὶ τάφους προγόνων ναυμαχῆσαι. — 5. Ταὐτόν ἐστι ἀρρωστοῦντι φορτίον ἀναθέσθαι καὶ ἀναπαιδεύτοις εὐτυχίαν. — 6. Κάλλιστόν ἐστι θνητοῦ σώματος[1], ὃ οὐχ ἕξομεν ὀλίγων ἐτῶν, πρίασθαι τοιαύτην εὔκλειαν, ἣ πάντα τὸν αἰῶνα παραμενεῖ. — 7. Σκηπίων οὐδὲν οὔτε ἐπρίατο οὔτε ἀπέδοτο· οὕτως ἄρα ὀλίγων ἐδεῖτο. — 8. Σωκράτης ἔλεγεν· Οὐδενὶ ἀνθρώπων ὑφείμην ἂν βέλτιον ἐμοῦ βεβιωκέναι.

Die übrigen Zeiten des Passivs und Mediums.

§ 65. 1. Ἐρισάντων περὶ τῆς ἀρχῆς Λεωτυχίδα καὶ Ἀγησιλάου κρίνασα ἡ πόλις ἀνεπικλητότερον εἶναι Ἀγησίλαον καὶ τῷ γένει καὶ τῇ ἀρετῇ τοῦτον ἐστήσατο βασιλέα. — 2. Οἱ παλαιοὶ Ἕλληνες τὴν Δήμητρα θεσμόφορον ὠνόμαζον, ὡς[1] τῶν νόμων πρῶτον ὑπὸ ταύτης τεθειμένων. — 3. Ὁμολογουμένως Ἡρακλῆς

---

§ 64. [1] § 50a. 1. [2] Apposition zu ἅ. [2] Genet. pretii. [3] § 25a. 3. — **§ 64a.** [1] für (Genet. pretii). — **§ 65.** [1] in dem Glauben, daß.

παραδέδοται[2] *πάντας τοὺς ἐξ αἰῶνος ὑπερᾶραι τῇ μνήμῃ παραδοθέντας.* — 4. *Κῦρος μεγάλων ἐθνῶν καταπεπολεμημένων ἐνόμιζε μηδένα μήτε*[3] *βασιλέα μήτε δῆμον ὑποστήσεσθαι τὴν ἰδίαν δύναμιν.* — 5. *Ὅμηρος οὐκ ἔφη τάφον Πατρόκλου γενέσθαι καθ' ἑαυτόν, ἀλλὰ μετὰ τοῦ Ἀχιλλέως τεθῆναι.* — 6. *Οἱ μὲν τὰ ἐφειμένα πράττοντες ἀζήμιοι διατελοῦσιν, οἱ δὲ τὰ κεκωλυμένα ζημιοῦνται.* — 7. *Τίς οὐκ ἂν ταῖς ἡδοναῖς δουλεύων αἰσχρῶς διατεθείη καὶ τὸ σῶμα καὶ τὴν ψυχήν;*[4] — 8. *Νόμος ἦν τοῖς Σπαρτιάταις, τὸν παρασχόμενον υἱοὺς πέντε ἀφεῖσθαι πασῶν τῶν λειτουργιῶν.*

§ 65a. 1. *Μίνως ποτὲ τοὺς οἰκοῦντας τὴν Ἀττικὴν παρεστήσατο εἰς χαλεπήν τινα φορὰν δασμοῦ.* — 2. *Λέγουσι τὴν „Ἶσιν" μεθερμηνευμένην εἶναι „παλαιάν", τεθειμένης τῆς προσηγορίας ἀπὸ τῆς ἀϊδίου καὶ παλαιᾶς γενέσεως.* — 3. *Οἱ τῶν Αἰγυπτίων ἱερεῖς εἶχον ἀναγραφὰς ἐκ παλαιῶν χρόνων ἀεὶ τοῖς διαδόχοις παραδεδομένας, ὁποῖος ἕκαστος τῶν βασιλευσάντων ἐγένετο.* — 4. *Τίς εὐβουλότερον τοῖς ἐκ τοῦ δαιμονίου δοθεῖσιν ὀφείλει χρῆσθαι τοῦ*[1] *τὰ μέγιστα παρ' αὐτοῦ λαβόντος;* — 5. *Τῶν κυνῶν αἱ καλῶς ἀχθεῖσαι, ἐπειδὰν ἀφεθῶσιν, εὐθὺς ἀναζητοῦσι τὸ ἴχνος.* — 6. *Οἱ Ῥωμαῖοι μηδενὸς ἔξωθεν ἐνοχλοῦντος αὐτοὶ παρείθησαν.* — 7. *Πᾶν τὸ περιτεθὲν ὑπὸ θεοῦ πρόσωπον πειρῶ ὑποκρίνασθαι καλῶς.* — 8. *Οὐδεὶς ἀνθρώπων τολμᾷ λέγειν, ὡς οὐ τῷ ἀδικοῦντι δοτέον δίκην.*

Verba auf *μι* mit dem Stamme *α*.

Gramm. § 192.

§ 66. 1. *Ὅσοι δύνανται ἔχειν ἀπὸ τοῦ δικαίου, ὅσων δέονται, τί ἂν τούτους οἰκτείροι τις ὡς πένητας;* — 2. *Ἀγησίλαος μέθης ἀποσχέσθαι ὁμοίως ᾤετο χρῆναι καὶ*[1] *μανίας.* — 3. *Σπαρτιάταις ἀποδημεῖν οὐκ ἐξῆν, ὅπως μὴ ῥᾳδιουργίας οἱ πολῖται ἀπὸ τῶν ξένων ἐμπίπλαιντο.* — 3. *Ὁ κόλαξ ἀναπίμπλησι καὶ τὴν ἀληθινὴν φιλίαν ἀπιστίας.* — 4. *Μὴ ἐπιτρέποντες*[2] *ἄλλοις ἃ μὴ ἐπιστάμεθα πράττειν, ἀναγκαζόμεθα ἁμαρτάνειν αὐτοὶ πράτ-*

---

[2] im Deutschen unpersönlich. [3] § 29. 1. [4] Akkus. der Beziehung. — **§ 65a.** [1] Genet. comparationis. — **§ 66.** [1] wie. [2] mit wenn aufzulösen.

τοντες. — 5. *Γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύνῃ καὶ τοὺς ἀκουσίους ὑπομένειν.* — 6. *Ἆρ' ὀνίναιτ' ἂν ἄνθρωπος πολλὰ κεκτημένος, νοῦν μὴ ἔχων;*[2] — 7. *Τὸ ψευδὲς οὐ δύνασαι ἀληθὲς ποιεῖν.* — 8. *Ἀποχρῆν ἀνθρώπῳ πρὸς εὐδαιμονίαν τὸ*[3] *τὰ ἀρκοῦντα κεκτῆσθαι νομίζω.* — 9. *Πολλοὶ ὑβριστότεροι διὰ πολέμων νίκας γενόμενοι μυρίων ἄλλων κακῶν δι' ὕβριν ἐνεπλήσθησαν.*

§ 66a. 1. *Τῆς ἐπιμελείας ὄφελος οὐδὲν ἂν γίγνοιτο, εἰ μή τις ἐπίσταιτο ἃ δεῖ καὶ ὡς δεῖ ποιεῖν.* — 2. *Μέγας τῷ ὄντι*[1] *οὗτος ἀνὴρ*[2], *ὃς ἂν μεγάλα δύνηται γνώμῃ διαπράξασθαι μᾶλλον ἢ ῥώμῃ.* — 3. *Οὐδεὶς τῶν ἀφρόνων καὶ πονηρῶν ἐπίσταται ἑαυτόν.* — 4. *Οἱ κωμῳδοὶ ἔβλαπτον οὐχ ἧττον ἢ ὠφέλουν, σκωμμάτων καὶ βωμολοχίας ἀναπιμπλάντες Ἀθήνας.* — 5. *Οἱ διψῶντες οὐδὲν δέονται οἴνου, ἀλλ' ἀπόχρη αὐτοῖς ὕδατος πιεῖν.* — 6. *Ἀλέξανδρος ἠγάσθη τοῦ Διογένους τὴν ἡσυχίαν, ὅτι οὐ κατεπλάγη ἐπιστάντος αὐτοῦ.* — 7. *Ἀγησίλαος ἐνέπλησε φρονήματος τὰς τῶν στρατιωτῶν ψυχάς.* — 8. *Τοῦτ' ἄν τις μόνον τῶν κακῶν*[3] *ἀπόναιτο, τὸ*[4] *μηδὲν αὖθις ὅμοιον παθεῖν φυλάξασθαι.* — 9. *Μάνθανε, ἃ μὴ ἐπίστασαι.*

Verba auf *ω* mit 2. Aorist wie die Verba auf *μι*.

§ 67. 1. *Ἀλέξανδρος, εἴ ποτε μοχθῆσαι τῇ στρατιᾷ συμβαίη*[1], *ἑκὼν ἐπόνει παρὰ τοὺς ἄλλους.* — 2. *Λοιδορεῖν πράγματα ἀνίατα καὶ πόρρω προβεβηκότα ἁμαρτίας οὐδαμῶς ἡδύ, ἀναγκαῖον δ' ἐνίοτ' ἐστίν.* — 3. *Αἰδὼς κρεῖττον καὶ ἰσχυρότερον φόβου· τοὺς μὲν γὰρ φοβουμένους ἀνάγκη μισεῖν καὶ ἀποδρᾶναι θέλειν, τοὺς δ' αἰδουμένους παραμένειν καὶ θαυμάζειν.* — 4. *Σεσόωσις τὸν Γάγγην ποταμὸν διέβη καὶ τὴν Ἰνδικὴν ἐπῆλθε πᾶσαν μέχρι ὠκεανοῦ.* — 5. *Κρατίστους οἶμαι τῶν νόμων ἡγητέον οὐκ*[2] *ἐξ ὧν εὐπορωτάτους, ἀλλ' ἐξ ὧν ἐπιεικεστάτους συμβήσεται γενέσθαι τοὺς ἀνθρώπους.* — 6. *Ἆρ' οὐ μέγα κέρδος, ὅτῳ ἂν συμβῇ ἀπαλλαγῆναι κακοῦ ἀνδρός;* — 7. *Τίς πώποτε ἢ βασιλεὺς ἢ*

---

[3] bleibt unübersetzt. — **§ 66a.** [1] in Wahrheit. [2] *μέγας ἀνήρ* ist Prädikat, *οὗτος* Subjekt. [3] *κακῶν* hängt von *ἀπόναιτο* ab. [4] bleibt unübersetzt. — **§ 67.** [1] § 45a. 2. [2] ergänze *ἐκείνους*.

δυνάστης ἢ δῆμος ἐπιχειρήσας ὑπερβῆναι τὸ δίκαιον καὶ τοῦ πλείονος ὀρεχθῆναι οὐχ ἅπασαν τὴν ὑπάρχουσαν εὐδαιμονίαν ἀπέβαλεν; — 8. *Ὁ πλεῖστα ἑτέροις συμβάντα ἐπιστάμενος, ἄριστα*[3], *οἷς αὐτὸς ἐγχειρεῖ, διαπράξεται.*

§ 67 a. 1. *Τῶν λυπουμένων ἕκαστος αὐτῷ τὸ συμβεβηκός φησιν εἶναι δεινότατον καὶ μάλιστα ἄξιον λύπης.* — 2. *Διονύσιος ὁ πρεσβύτερος πρὸς τὸν πυθόμενον, εἰ σχολάζοι „Μηδέποτε, εἶπεν, ἐμοὶ τοῦτο συμβαίη“.* — 3. *Καῖσαρ διέβη τὸν Ῥουβίκωνα ποταμὸν εἰπών „Πᾶς ἀνερρίφθω κύβος“.* — 4. *Οἱ Σκύθαι ἐξετύφλουν οἰκέτας, ὅπως μὴ ἀποδραῖεν.* — 5. *Ὁπότε οἱ Πέρσαι τολμήσειαν*[1] *ὑπερβῆναι τοὺς τῆς Ἀσίας ὅρους, οὐ μόνον ὑπὲρ τῆς ἀρχῆς ἀλλὰ καὶ περὶ ἑαυτῶν ἐκινδύνευον.* — 6. *Σοφοῖς ὁμιλῶν αὐτὸς ἐκβήσῃ σοφός.* — 7. *Σωκράτης ἀποδρᾶναι τῆς εἱρκτῆς οὐκ ἐθέλησεν.* — 8. *Ἐσθλοῦ δικαστοῦ*[2] *ἐστι νόμῳ παραβαθέντι βοηθεῖν.* — 9. *Οἱ πολλοὶ πάντα τὰ παρὰ τὰς ἐλπίδας αὐτοῖς συμβάντα ἐξ ἐπηρείας τύχης γίγνεσθαι νομίζουσιν.*

§ 68. 1. *Μέγα καὶ καλὸν κτῆμα τὸ*[1] *ὅσιον καὶ πιστὸν εἶναί τε καὶ ἐγνῶσθαι.* — 2. *Ὀδυσσεὺς καὶ Διομήδης ἦσαν, αἴτιοι Τροίαν ἁλῶναι.* — 3. *Οὐδενὶ οὕτως ἔοικε προστάττειν ὁ θεός, ὡς τῷ μέλλοντι ψέγειν ἕτερον, τὸ*[2] *„Γνῶθι σεαυτόν“.* — 4. *Τῆς Τροίας ἁλούσης Αἰνείας τὸν πατέρα γεγηρακότα ἀράμενος ἐπὶ τοὺς ὤμους ἐξήνεγκεν.* — 5. *Οὐκ ἔστιν*[3], *ὅ,τι ἂν ὀργιζόμενος ἄνθρωπος εὖ γνοίη.* — 6. *Σιμωνίδης ἐρωτηθεὶς πόσον χρόνον βιῴη „Χρόνον, ἔφη, ὀλίγον, ἔτη δὲ πολλά“.* — 7. *Οἷς ἂν ἐμφύῃ τιμῆς τε καὶ ἐπαίνου ἔρως, οὗτοί εἰσιν οἱ πλεῖστον*[4] *τῶν βοσκημάτων διαφέροντες.* — 8. *Πάντα τὰ δεινὰ πέφυκε μᾶλλον ἐκπλήττειν τοὺς προσδεχομένους ἢ λυπεῖν τοὺς πειραθέντας.* — 9. *Οὐδενὶ θνητῷ φύντι θεοὶ τῶν μελλόντων βεβαίαν ἐπιστήμην ἔδοσαν ἔχειν.* — 10. *Εἰς τί καταδὺς τοῦ κόσμου μέρος καὶ ἀποκρύψας σεαυτὸν πιστεύσεις, ὅτι τὸν θεὸν ἀποπέφευγας;*

§ 68 a. 1. *Οἱ Σπαρτιᾶται ἔγνωσαν τὸ πείθεσθαι μέγιστον ἀγαθὸν εἶναι καὶ ἐν πόλει καὶ ἐν στρατιᾷ καὶ ἐν οἴκῳ.* — 2. *Δύο ἐστὶ τῶν Δελφικῶν γραμμάτων τὰ μάλιστ' ἀναγκαιότατα πρὸς*

---

[3] Adverb zu *διαπράξεται.* — **§ 67a.** [1] s. § 45a. 2. [2] § 14. 2. — **§ 68.** [1] bleibt unübersetzt. [2] den Spruch, das Wort. [3] es gibt nichts. [4] § 24. 1.

τὸν βίον, τὸ „Γνῶθι σεαυτόν“ καὶ τὸ „Μηδὲν ἄγαν“. — 3. *Καῖσαρ πάντα τὰ γράμματα, ὅσα ἢ παρὰ τῷ Πομπηΐῳ ἢ παρὰ τῷ Σκηπίωνι ἀπόρρητα εὑρέθη, κατέκαυσεν οὔτ' ἀναγνούς τι αὐτῶν οὔτε τηρήσας.* — 4. *Ἀριστομένης ὁ Μησσήνιος πλεῖστα Λακεδαιμονίοις πράγματα παρέσχε καὶ πολλάκις ἁλοὺς ἀπέδρα παρ' αὐτῶν.* — 5. *Τοὺς ἐνδοξοτάτους τῶν ἡρώων καὶ φύντας ἀπὸ θεῶν πρὸ γήρως ἐκλιπόντας*[1] *τὸν βίον οἱ ποιηταὶ παρέδοσαν ἡμῖν.* — 6. *Πλάτων φησίν· ὅτι τὴν εἱμαρμένην οὐδ' ἂν εἷς ἐκφύγοι, σκεπτέον, τίν' ἂν τρόπον τοῦτον ὃν μέλλει χρόνον*[2] *βιῶναι ὡς ἄριστα βιῴη.* — 7. *Οἱ ἀγαθοί, κἂν ἀδοξεῖν καὶ κινδυνεύειν ὑπὲρ τοῦ καλοῦ δέῃ, οὐδὲν*[3] *αἱροῦνται τῶν ὀρθῶς ἐγνωσμένων παρακινεῖν.*

Verba auf *υμι*.

A. Präsens und Imperfekt.

§ 69. 1. *Σωκράτης οὔτε θύων τισὶ καινοῖς δαίμοσιν οὔτε ὀμνὺς οὔτε νομίζων ἄλλους θεοὺς ἀναπέφηνεν.* — 2. *Ἡ τρυφὴ τοὺς μὲν πόνους ἀεὶ χαλεπωτέρους ποιεῖ φαίνεσθαι, τὰς δὲ ἡδονὰς ἀπομαραίνει καὶ ἀσθενεῖς ἀποδείκνυσιν.* — 3. *Πυθαγόρας παρήγγελε τοῖς μανθάνουσι σπανίως μὲν ὀμνύναι, χρησαμένοις δὲ τοῖς ὅρκοις πάντως ἐμμένειν.* — 4. *Αἱ Σειρῆνες ἀπώλλυσαν τοὺς ἡσθέντας ἑαυταῖς.* — 5. *Σὺν τῇ πόλει καὶ σῴζεται καὶ ἀπόλλυται τὰ οἰκεῖα ἑκάστου.* — 6. *Ἡ κακία τὰ λαμπρὰ φαινόμενα μιγνυμένη λυπηρὰ παρέχει τοῖς κεκτημένοις.* — 7. *Διογένης ἔλεγε τοὺς ἀνθρώπους δοκοῦντας*[1] *προμηθεῖσθαι σφῶν αὐτῶν κάκιστα ἀπόλλυσθαι.* — 8. *Συμβουλεύων*[1] *μὴ πρὸς τὴν ἰδίαν ἔχθραν ἢ χάριν, ἀλλὰ πρὸς τὸ κοινῇ συμφέρον ἀποδείκνυσο γνώμην.* — 9. *Οἱ τῶν Περσῶν βασιλεῖς ἀπεδείκνυντο ἐκ τῶν ἱερέων ἢ τῶν μαχίμων.*

§ 69a. 1. *Ἀμελεῖν ὑποδεικνύντος τοῦ δεσπότου χαλεπὸν ἐπιμελῆ θεράποντα γενέσθαι.* — 2. *Μήδεια Ἰάσονι φάρμακον ἔδωκεν, ᾧ καταζευγνύναι μέλλοντα τοὺς χαλκόποδας ταύρους ἐκέλευσε χρῖσαι τήν τ' ἀσπίδα καὶ τὸ δόρυ καὶ τὸ σῶμα.* — 3. *Εὐριπίδης γνώμας πρὸς ἅπαντα ὠφελίμους καταμίγνυσι τοῖς*

---

§ 68a. [1] mit daß aufzulösen. [2] das Subst. ist in den Relativsatz hineingezogen; übersetze: *τοῦτον τὸν χρόνον, ὃν μέλλει βιῶναι, ὡς* etc. [3] von *παρακινεῖν* abhängig. — § 69. [1] mit wann aufzulösen.

ποιήμασιν. — 4. *Οἱ ἀδολέσχαι πᾶσαν ἔργου χάριν τῇ τῶν λόγων ἀκαιρίᾳ διαφθείρουσι καὶ ἀπολλύασιν.* — 5. *Ἡ εἰρήνη τάχιστα καὶ ῥᾷστα τοῖς πέρα τοῦ καιροῦ σπουδάζουσιν αὐτὴν ἀπόλλυται.* — 6. *Οἱ Ἀθηναῖοι, ἀκούοντες Ἄθων τε διορυττόμενον*[1] *καὶ Ἑλλήσποντον ζευγνύμενον καὶ τὸ τῶν νεῶν πλῆθος, ἡγήσαντο οὔτε κατὰ γῆν σφισιν εἶναι σωτηρίαν οὔτε κατὰ θάλατταν.* — 7. *Ἐπιδείκνυσο μὴ τοῖς λόγοις, ἀλλὰ τοῖς ἔργοις.* — 8. *Τοῖς ἐχθροῖς ὠφελιμώτερός ἐστιν ὁ πολυπράγμων ἢ ἑαυτῷ· τὰ*[2] *γὰρ ἐκείνων ἐλέγχων δεικνύοι ἂν αὐτοῖς, ἃ δεῖ διορθῶσαι, τῶν δ' οἴκοι τὰ πλεῖστα παρορᾷ.*

B. Andere Zeiten.

§ 70. 1. *Λυκοῦργος οὐ μιμησάμενος τὰς ἄλλας πόλεις, ἀλλὰ καὶ ἐναντία γνοὺς ταῖς πλείσταις, προέχουσαν εὐδαιμονίᾳ τὴν πατρίδα ἀπέδειξεν.* — 2. *Θησεὺς τοὺς τῆς Ἑλλάδος ἐχθροὺς πάσης μόνος ἀπώλεσεν.* — 3. *Πολλοὶ ὑπὸ φθόνου ἀλόγιστοι αἱροῦνται διὰ τὴν αὑτῶν κακίαν ἀπολέσθαι μᾶλλον ἢ ἑτέρων ἀρετῇ σώζεσθαι.* — 4. *Ὁ*[1] *τὸν Θεσσαλὸν Προμηθέα κτεῖναι διανοηθεὶς ἔπαισε τῷ ξίφει τὸ φῦμα καὶ διεῖλεν οὕτως, ὥστε σωθῆναι τὸν ἄνθρωπον τοῦ φύματας ῥαγέντος.* — 5. *Ἔνιοι ἔλεγον, ὡς δεῖ τὴν ἀρίστην πολιτείαν ἐξ ἁπασῶν εἶναι τῶν πολιτειῶν μεμιγμένην.* — 6. *Οἱ Ἕλληνες ὤμοσαν ἐν Πλαταιαῖς παραδώσειν παίδων παισὶ τὴν πρὸς τοὺς Πέρσας ἔχθραν.* — 7. *Ὅταν ὁ λαγὼς καθεύδῃ, τὰ βλέφαρα ἀναπέπταται.* — 8. *Τῶν θηρίων τὰ μὲν ὥπλισται κέρασι καὶ ὀδοῦσι καὶ κέντροις, τὰ δὲ ἠμφίεσται φολίσι καὶ λάχναις.* — 9. *Ὁ Κηφισὸς προσκεχώκεν οὐκ ὀλίγην χώραν.*

§ 70a. 1. *Οἱ τύραννοι ὥσπερ*[1] *πολέμου ὄντος ἀεὶ ἀναγκάζονται στράτευμα τρέφειν ἢ ἀπολωλέναι.* — 2. *Φαέθων Ἡλίου παῖς τὸ τοῦ πατρὸς ἅρμα ζεύξας τά τ' ἐπὶ γῆς ἔκαυσεν καὶ αὐτὸς κεραυνωθεὶς διεφθάρη.* — 3. *Οὐχ οἷόν τε, πονηρὰ αὐτὸν ποιοῦντα, ἀγαθὸν τὸν συνόντα ἀποδεῖξαι.* — 4. *Πολλοὶ ζητοῦντες ἀμύνασθαί τινα προσώλοντο.* — 5. *Τὰ τοῦ Ἀχιλλέως ὀστᾶ ἀνεμίχθη τοῖς τοῦ Πατρόκλου.* — 6. *Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι πρὸς ἀλλήλους ἀγωνιζόμενοι περὶ τῶν πρωτείων ἀπώλεσαν αὐτὰ ἀμφό-*

---

§ 69a. [1] sieh § 50a. 1. [2] *τά* = die Mängel. — **§ 70.** [1] Jener, der. — **§ 70a.** [1] gleich als wenn.

τεροι. — 7. Χρύσιππος ἔλεγε πάχνην δρόσον πεπηγυῖαν. — 8. Ὁ τῶν Λυκίων νομοθέτης προσέταξε τοῖς πολίταις, ἐὰν πενθῶσι, γυναικείαν ἠμφιεσμένους ἐσθῆτα πενθεῖν. — 9. Τῶν Βοιωτίων πεδίων τὸ τῆς Ὀρχομενίων πόλεως ἐξηρτημένον ὁμαλὸν ἀναπέπταται. — 10. Τὸ πῦρ ὁ μὴ παρασχὼν ὕλην ἔσβεσε[1], καὶ ὀργὴν ὁ μὴ θρέψας ἐν ἀρχῇ καθεῖλεν. — 11. Εὖ φερομένης τῆς γεωργίας, φησὶ Ξενοφῶν, ἔρρωνται καὶ αἱ ἄλλαι τέχναι ἅπασαι.

εἶμι, εἰμί, φημί.

§ 71. 1. Καθάπερ ἀγγείων ὕδωρ δεχομένων ὁ κενὸς ἀὴρ ἐκθλιβόμενος ὑπέξεισιν, οὕτως ἀνθρώποις πληρουμένοις τῶν ἀληθινῶν ἀγαθῶν ἐνδίδωσι τὸ φρόνημα. — 2. Εἰ θέλεις ἀνιᾶν τὸν μισοῦντα, μὴ λοιδόρει ἀκόλαστον μηδ' ἀνελεύθερον· ἀλλ' αὐτὸς ἀνὴρ ἴσθι καὶ σωφρόνει. — 3. Πλάτων, ὁπότ' ἀσχημονοῦσιν ἀνθρώποις παραγένοιτο[1], πρὸς αὑτὸν ἀπιὼν εἰώθει λέγειν· Ἆρα μὴ ἐγὼ τοιοῦτος; — 4. Οὐ νομοθετήσοντες[2] πάρεσμεν εἰς τὸν βίον, ἀλλὰ πεισόμενοι τοῖς διατεταγμένοις ὑπὸ θεοῦ. — 5. Σιβύλλης χρησμὸς ἔφασκε τὸ Καπιτώλιον κεφάλαιον ἔσεσθαι τῆς οἰκουμένης μέχρι τῆς τοῦ κόσμου καταλύσεως. — 6. Δύο ἐστὸν τὰ τὴν νίκην ἀπεργαζόμενα, θάρρος μὲν πολεμίων[3], φίλων δὲ φόβος αἰσχύνης πέρι κακῆς. — 7. Ὁ ἄπιστος, χρόνου προϊόντος γνωσθείς[4], εἰς τὸ χαλεπὸν γῆρας ἐρημίαν αὑτῷ πᾶσαν κατεσκευάσατο. — 8. Πλούτων ἥρπασε Περσεφόνην, τὴν Δημητρὸς θυγατέρα· Δημήτηρ δὲ μετὰ λαμπάδων κατὰ πᾶσαν τὴν γῆν ζητοῦσα περιῄει. — 9. Σωκράτην διαφθείρειν τοὺς νέους ἔφασαν οἱ Ἀθηναῖοι.

§ 71a. 1. Ἡ ψυχή, ὅσονπερ ἂν ἴῃ ἐπὶ τὸ φρονιμώτερον, καὶ ἀξιεραστοτέρα γίγνεται. — 2. Οὔποτε φιλεῖ τὰ μοχθηρὰ μένειν ἐπὶ τοῖς αὐτοῖς, ἀλλ' ἀεὶ κινεῖται καὶ πρόεισιν ἐπὶ τὸ ἀσελγέστερον. — 3. Οὔτε ἑαυτὸν οὔτε τὰ ἑαυτοῦ χρὴ τόν γε μέγαν ἄνδρα ἐσόμενον[1] στέργειν. — 4. Οἱ γενναῖοι σκύλακες οὐχ ὑπομένουσιν ἀπολείπεσθαι τῶν ἐπὶ θήραν ἐξιόντων, ἀλλὰ συνέπονται πολλάκις ἀπορρήξαντες τὰ δεσμά. — 5. Οἱ Θηβαῖοι ἔφασαν

---

§ 70a. [1] gnomischer Aorist. § 29a. 2. — § 71. [1] s. § 45a. 2. [2] das Part. Fut. steht hier statt eines Finalsatzes. [3] Genet. objectivus. [4] mit wann aufzulösen. — § 71a. [1] der — soll (will).

παρ' ἑαυτοῖς πρώτοις φιλοσοφίαν τε εὑρῆσθαι καὶ τὴν ἐπ' ἀκριβὲς ἀστρολογίαν. — 6. *Εὐτυχῶν μὴ ἴσθι ὑπερήφανος.* — 7. *Ἡρακλῆς περιῄει τὴν Εὐρώπην καὶ Ἀσίαν ἅπασαν, τοῖς μὲν ἀγαθοῖς βοηθῶν, τοὺς δὲ κακοὺς κολάζων.* — 8. *Πολὺ ἂν ἔργον εἴη πάντας ἐπεξιέναι τοὺς διὰ τρυφὴν ἀπολωλότας.* — 9. *Τῶν νόμων καὶ τῆς εὐταξίας οὐδὲν ἂν φαίην ἔγωγε περὶ πλείονος ποιεῖσθαι τοὺς ἀγαθοὺς πολίτας.* — 10. *Πᾶσαν φιλίαν φαμὲν πολὺ λυσιτελεστέραν τοῖς γε νοῦν ἔχουσιν ἔχθρας.*

κεῖμαι, ἧμαι, οἶδα.

§ 72. 1. *Ἐγὼ δοκῶ εἰδέναι, ὅτι πολὺ πλέονες τῶν πολεμίων ἢ τῶν ἐπιθυμιῶν δύνανται κρατεῖν.* — 2. *Ὅστις οἶδεν ἀνταγωνιστὴν βίου καὶ δόξης τὸν ἐχθρὸν ὄντα*[1], *προσέχει μᾶλλον ἑαυτῷ.* — 3. *Μενέλαος δέκα ἔτη καθῆστο πολεμῶν ἐν Τροίᾳ.* — 4. *Τοὺς μὲν ψευδομένους ἴσμεν πολλὰ καὶ ἀνόμοια λέγοντας· τοῖς δὲ ἀληθεύουσιν οὐχ οἷόν τε ἕτερα εἰπεῖν τῶν ἀληθῶν.* — 5. *Εὖ ἴσθι, ὅτι μείω*[2] *πολὺ εὐφραίνονται οἱ τύραννοι τῶν μετρίως διαγόντων ἰδιωτῶν.* — 6. *Εὐτυχίαν εἰδείην*[3] *φέρειν σωφρόνως.* — 6. *Ἀντώνιος ἔλεγε περὶ Καίσαρος· Ὁ ἀνὴρ οὗτος πόλεις ἀναριθμήτους, ὧν οὐδὲ τὰ ὀνόματα πρότερον ᾔδειμεν, προσεκτήσατο.* — 7. *Οἱ ἄνθρωποι ἐπιθυμοῦσι μὲν ἐλεύθεροι εἶναι, αὐτὸ δὲ τοῦτο, ὅ,τι ἐστι τὸ ἐλεύθερον εἶναι, οὐκ ἴσασιν.* — 8. *Ἀλεξανδρία ἔκειτο ἐν συνδέσμῳ τινὶ τῆς ὅλης γῆς.* — 9. *Τῷ μηδὲν ἑαυτῷ ἄδικον συνειδότι ἡδεῖα ἐλπὶς ἀεὶ πάρεστιν.* — 10. *Πάντα καλλίω φαίνεται κατὰ κόσμον κειμένα.* — 11. *Ὁ κολακεύων θαρρεῖ τὰ ψευδῆ λέγειν πρὸς τοὺς μάλιστα εἰδότας, ὅτι ψεύδεται.*

§ 72 a. 1. *Ὁ μὴ εἰδὼς ὅ,τι δύναται ἡ γῆ φέρειν, οὐδ' ὅ,τι φυτεύειν δεῖ εἰδείη ἄν.* — 2. *Σωκράτης πυθομένου τινός, εἰ εὐδαίμονα νομίζοι τὸν Περσῶν βασιλέα, οὐκ ἔφη εἰδέναι διὰ τὸ μὴ γιγνώσκειν, ὁποῖός ἐστι τὴν διάνοιαν*[1]. — 3. *Ἐν ταῖς ψυχαῖς τὸ εὐδαιμονεῖν καὶ τὸ κακοδαιμονεῖν τοῖς ἀνθρώποις ἀπόκειται.* — 4. *Πάντες ὑπόπτως ἔχουσι πρὸς τὰ ὑπὸ τούτων διδομένα, οὓς ἴσασι τῶν πρότερον φίλων ἀμελοῦντας*[2]. — 5. *Τὸν Ὀλυμπίασι*

---

§ 72. [1] sieh § 50a. 1. — [2] § 24. 1. — [3] § 27a. 1. — **§ 72a.** [1] Akk. der Beziehung: in welcher Hinsicht? [2] sieh § 50a. 1.

στέφανον ἴστε δήπουθεν ἐλάϊνον ὄντα, καὶ τοῦτον πολλοὶ προτετιμήκασι τοῦ ζῆν. — 6. Οἱ Μάγοι τῆς φύσεως ἦσαν ἔμπειροι καὶ τοὺς θεοὺς ᾔδεσαν ὡς δεῖ θεραπεύειν. — 7. Δημοσθένης πρὸς κλέπτην εἰπόντα „Οὐκ ᾔδειν, ὅτι σόν ἐστιν", „ὅτι δὲ, ἔφη, σὸν οὐκ ἔστιν, ᾔδεισθα". — 8. Ἀπελλῆς ἐρωτηθείς, διὰ τί τὴν τύχην καθημένην ἔγραψεν· „Οὐχ ἕστηκε γάρ" εἶπεν.

Zweite Abtheilung.

I. Äsopische Fabeln.

A.

1. Ταὼς καὶ κολοιός.

Τῶν ὀρνίθων βουλευσαμένων περὶ βασιλείας, ταὼς ἠξίου ἑαυτὸν χειροτονεῖσθαι βασιλέα διὰ τὸ κάλλος· ὁρμωμένων δὲ ἐπὶ τοῦτο τῶν ὀρνίθων, κολοιὸς ἔλεγεν· „Ἀλλ' ἐὰν σοῦ βασιλεύοντος[1] ὁ ἀετὸς ἡμᾶς διώκῃ, πῶς ἡμῖν ἐπαρκέσεις;"

2. Ταὼς καὶ γέρανος.

Ἤριζεν εὐφυεῖ γεράνῳ ταὼς χρυσόπτερος, σκώπτουσα τὴν χρόαν τῆς γεράνου. Ἡ δ'[2] ἔφη· „Ἀλλ' ἐγὼ ἄστρων ἐγγὺς πέτομαι καὶ φωνῶ· σὺ δέ, ὡς ἀλέκτωρ, χαμαὶ πτερύσσῃ οὐδ' ἄνω φαίνῃ."

3. Λέοντες καὶ λαγωοί.

Δημηγορούντων τῶν δασυπόδων καὶ τὸ ἴσον ἀξιούντων πάντας ἔχειν, οἱ λέοντες ἔλεγον· „Οἱ λόγοι ὑμῶν, ὦ δασύποδες, ὀνύχων τε καὶ ὀδόντων, οἵων[3] ἡμεῖς ἔχομεν, δέονται."

I. A. [1] te regnante. — [2] Gramm. § 89. 4. — [3] für τοιούτων, οἵους.

4. Ἀλώπηξ καὶ πίθηκος.

Ἀλώπηξ καὶ πίθηκος ἐν ταὐτῷ[4] ὁδοιποροῦντες περὶ εὐγενείας ἤριζον. Παρερχομένων δὲ διά τινων μνημείων, ἔφη ὁ πίθηκος τῇ ἀλώπεκι· „Πάντες οἱ νεκροὶ οὗτοι ἀπελεύθεροι τῶν ἐμῶν γεννητόρων ὑπάρχουσιν.“ Ἡ δὲ ἀλώπηξ λέγει τῷ πιθήκῳ· „Εὐκαίρως ἐψεύσω· οὐδεὶς γὰρ τῶν ἐνταῦθα ταφέντων ἀπελέγξει σε.“

5. Ἄρκτος καὶ ἀλώπηξ.

Ἄρκτος τίς ποτε μεγάλως ἐκαυχᾶτο, ὡς φιλανθρωπότατον πάντων ἐστὶ τῶν ζῴων· φασὶ γὰρ ἄρκτον νεκρὸν οὐ βιβρώσκειν. Ἡ δὲ ἀλώπηξ ἀκούουσα ταῦτα ἐμειδίασε καὶ πρὸς αὐτὴν ἔφη· „Εἴθε[5] τοὺς νεκροὺς ἤσθιες[5] καὶ μὴ τοὺς ζῶντας!“

6. Βόες καὶ ἄξονες.

Βόες ἅμαξαν εἷλκον· τοῦ δὲ ἄξονος τρίζοντος, ἐπιστραφέντες ἔλεγον οὕτω πρὸς αὐτόν· „Ὦ οὗτος[6], ἡμῶν τὸ ὅλον βάρος φερόντων, σὺ τί κράζεις;“

7. Δέλφαξ καὶ πρόβατα.

Ἔν τινι ποίμνῃ δέλφαξ ἐνέμετο. Καὶ δή ποτε τοῦ ποιμένος συλλαμβάνοντος αὐτὸν, ἐκκεκράγει τε καὶ ἀντέτεινε· τῶν δὲ προβάτων αὐτὸν αἰτιωμένων ἐπὶ τῷ[7] βοᾶν καὶ λεγόντων, „Ἡμᾶς μὲν συνεχῶς συλλαμβάνει, καὶ οὐ κράζομεν,“ ἔφη πρὸς ταῦτα· „Ἀλλ' οὐχ ὁμοία τῇ ὑμετέρᾳ ἡ ἐμὴ σύλληψις· ὑμᾶς γὰρ ἢ διὰ τὰ ἔρια ἀγρεύει ἢ διὰ τὸ γάλα· ἐμὲ δὲ διὰ τὸ κρέας“.

8. Ἵππος καὶ ἱπποκόμος.

Κριθὰς τὰς τοῦ ἵππου ἱπποκόμος κλέπτων καὶ πωλῶν τὸν ἵππον ἔτριβε καὶ ἐκτένιζε πάσας ἡμέρας. Ἔφη δὲ ὁ ἵππος· „Εἰ θέλεις ἀληθῶς καλὸν εἶναί με, τὰς κριθὰς τὰς τρεφούσας μὴ πώλει.“

9. Κάλαμοι καὶ δρύες.

Δρῦν ἄνεμος ἐκριζώσας εἰς ποταμὸν ἔρριψεν. Ἡ δὲ φερομένη τοὺς καλάμους ἐρωτᾷ· „Πῶς ὑμεῖς, ἀσθενεῖς ὄντες καὶ λεπτοί, ὑπὸ τῶν βιαίων ἀνέμων οὐκ ἐκριζοῦσθε;“ Οἱ δὲ ἀπε-

---

[4] auf derselben Straße. — [5] ein als unerfüllbar gedachter Wunsch. — [6] O du, he du! — [7] darüber daß ...

κρίναντο· „Ὑμεῖς τοῖς ἀνέμοις μάχεσθε καὶ διὰ τοῦτο ἐκριζοῦσθε· ἡμεῖς δέ, παντὶ ἀνέμῳ ὑποπίπτοντες, ἀβλαβεῖς διαμένομεν.“

10. Κύων καὶ λύκαινα.

Κύων καταδιώκων λύκαιναν ἥδετο ἐπὶ τῇ τε τῶν ποδῶν ταχυτῆτι καὶ τῇ ἰδίᾳ ἰσχύι καὶ ἐδόκει φεύγειν τὸν λύκον δι' οἰκείαν δῆθεν ἀσθένειαν. Στραφεὶς οὖν ὁ λύκος ἔφη πρὸς τὸν κύνα· „Οὐ σὲ δέδοικα, ἀλλὰ τὴν τοῦ σοῦ δεσπότου καταδρομήν.“

11. Λέαινα καὶ ἀλώπηξ.

Λέαινα ὀνειδιζομένη ὑπὸ ἀλώπεκος ἐπὶ τῷ διὰ παντὸς τοῦ χρόνου ἕνα τίκτειν, „Ἕνα, ἔφη, ἀλλὰ λέοντα.“

12. Πέρδιξ καὶ ἄνθρωπος.

Πέρδικά τις θηρεύσας ἔμελλε σφάξαι· ἡ δὲ ἱκέτευε λέγουσα· „Ἔασόν με ζῆν· ἀντ' ἐμοῦ πολλὰς πέρδικας ἐγώ σοι κυνηγήσω.“ Ὁ δὲ ἔφη· „Δι' αὐτὸ[8] τοῦτο μᾶλλόν σε θύσω, ὅτι τοὺς συνήθεις καὶ φίλους σοι ἐνεδρεῦσαι θέλεις.“

13. Τοῖχος καὶ πάλος.

Τοῖχος σπαραττόμενος ὑπὸ πάλου βιαίως, εἶπε· „Τί με σπαράττεις οὐδὲν ἠδικηκότα;“ Ὁ δέ, „Οὐκ ἐγώ, ἔφη, αἴτιος τούτου, ἀλλ' ὁ ὄπισθεν σφοδρῶς με τύπτων.“

14. Πρόβατον κειρόμενον.

Πρόβατον ἀφυῶς κειρόμενον πρὸς τοὺς κείροντας ἔφη· „Εἰ μὲν ἔρια ζητεῖτε· ἀνωτέρω[9] τέμνετε· εἰ δὲ κρέως ἐπιθυμεῖτε, ἅπαξ με καταθύσατε, τοῦ[10] κατὰ μικρὸν[11] βασανίζειν ἀπαλλάξαντες.“

B.

15. Χῆνες καὶ γέρανοι.

Χῆνες καὶ γέρανοι ἐπὶ ταὐτοῦ λειμῶνος ἐνέμοντο. Τῶν δὲ θηρευτῶν ἐπιφανέντων, οἱ μὲν γέρανοι κοῦφοι ὄντες, ταχέως ἀπέπτοντο·[1] οἱ δὲ χῆνες διὰ τὸ βάρος τῶν σωμάτων μείναντες συνελήφθησαν[2].

---

[8] αὐτός bei Demonstrativen = gerade. — [9] Gramm. § 205. — [10] τοῦ βασανίζειν hängt ab von ἀπαλλάξαντες. — [11] Stück für Stück. — **B.** [1] ἀποπέτομαι. — [2] συλλαμβάνω.

16. *Ἀηδὼν καὶ ἱέραξ.*

Ἀηδὼν ἐπὶ δένδρου καθεζομένη κατὰ τὸ εἰωθὸς[3] *ᾖδεν. Ἱέραξ δὲ θεασάμενος καὶ τροφῆς ἀπορῶν συνέλαβεν ἐπιπτόμενος. Ἡ δὲ ἀναιρεῖσθαι μέλλουσα ἐδεῖτο τοῦ ἱέρακος μὴ βρωθῆναι· μηδὲ γὰρ ἱκανὴ εἶναι*[4] *ἱέρακος γαστέρα πληροῦν· δεῖν*[4] *δ' αὐτὸν τροφῆς προσδεόμενον*[5] *ἐπὶ τὰ μείζω τῶν ὀρνέων τραπέσθαι. Καὶ ὁ ἱέραξ ὑπολαβὼν εἶπεν· „Ἀλλ' ἔγωγε ἄφρων ἂν εἴην*[6]*, εἰ τὴν ἐν χερσὶν ἑτοίμην τροφὴν ἀφεὶς τὰ μήπω φαινόμενα διώκοιμι"*[7].

17. *Λέων καὶ βάτραχος.*

Λέων ἀκούσας ποτὲ βατράχου μέγα[8] *βοῶντος*[9] *ἐπεστράφη πρὸς τὴν φωνὴν οἰόμενος μέγα τι ζῷον εἶναι. Προσμείνας δὲ μικρόν, ὡς εἶδεν αὐτὸν προελθόντα τῆς λίμνης, προσελθὼν αὐτὸν κατεπάτησεν.*

18. *Ὄνος καὶ ἡμίονος.*

Ὀνηλάτης ἐπιθεὶς ὄνῳ καὶ ἡμιόνῳ γόμους ἤλαυνεν[10]. *Ὁ δὲ ὄνος, μέχρι μὲν λεῖος τόπος ἦν, ἀντεῖχε πρὸς τὸ βάρος· ὡς δὲ ἐγένοντο κατά τινα κρημνόν, οὐ δυνάμενος ὑποφέρειν παρεκάλει τὴν ἡμίονον μέρος τι τοῦ γόμου αὐτοῦ προσδέξασθαι, ἵνα τὸ λοιπὸν αὐτὸς διακομίσηται. Τῆς δὲ παρ' οὐδὲν θεμένης αὐτοῦ τοὺς λόγους, ὁ μὲν κατακρημνισθεὶς διερράγη*[11]*, ὁ δὲ ὀνηλάτης, ἀπορῶν ὅ,τι ποιήσει*[12]*, οὐ μόνον τὸν γόμον τοῦ ὄνου τῇ ἡμιόνῳ προσέθηκεν, ἀλλὰ καὶ αὐτὴν τὴν τοῦ ὄνου δοράν. Ἡ δὲ οὐ μετρίως καταπονηθεῖσα ἔφη πρὸς ἑαυτήν· „Δίκαια πέπονθα· εἰ γὰρ παρακαλοῦντι τῷ ὄνῳ μικρὰ κουφίσαι ἐπείσθην, οὐκ ἂν νῦν μετὰ τῶν αὐτοῦ φορτίων καὶ τὸ δέρμα ἔφερον"*[13].

19. *Παῖς λουόμενος.*

Παῖς ποτε λουόμενος ἔν τινι ποταμῷ ἐκινδύνευσεν ἀποπνιγῆναι. Ἰδὼν δέ τινα ὁδοιπόρον, τοῦτον ἐπὶ βοηθείᾳ ἐκάλει· ὁ δὲ ἐμέμφετο τῷ παιδὶ ὡς τολμηρῷ. Τὸ δὲ μειράκιον εἶπε πρὸς αὐτόν· „Ἀλλὰ νῦν μοι βοήθει, ὕστερον δὲ σωθέντι[14] *μέμψαι."*

---

[3] nach ihrer Gewohnheit. — [4] Die Infinitive hängen von einem aus *ἐδεῖτο* zu entnehmenden verbum dicendi ab. — [5] mit wenn aufzulösen. — [6] Potentialis. — [7] erste Abth. § 25a. 3. — [8] laut; erste Ath. § 24. 1. — [9] im Deutschen der Infinitiv. — [10] ergänze *αὐτούς*. — [11] *διαρρήγνυμι*. — [12] was er thun solle. — [13] Conditionalis der Gegenwart. — [14] mit wann aufzulösen.

20. Χελώνη καὶ λαγωός.

Χελώνη καὶ λαγωὸς περὶ ὀξύτητος ἤριζον· καὶ δὴ προθεσμίαν στήσαντες καὶ τόπον ἀπηλλάγησαν. Ὁ μὲν οὖν λαγωὸς, διὰ τὴν φυσικὴν ὠκύτητα ἀμελήσας τοῦ δρόμου, πεσὼν παρὰ τὴν ὁδὸν ἐκοιμᾶτο, ἡ δὲ χελώνη συνειδυῖα ἑαυτῇ τὴν βραδυτῆτα οὐ διέλιπε τρέχουσα, καὶ οὕτω κοιμώμενον τὸν λαγωὸν παραδραμοῦσα[15] εἰς τὸ βραβεῖον τῆς νίκης ἀφίκετο.

21. Ἔριφος καὶ λύκος.

Ἔριφος ἐπί τινος δώματος ἑστώς, ἐπειδὴ λύκον παριόντα εἶδεν, ἐλοιδόρει καὶ ἔσκωπτεν αὐτόν. Ὁ δὲ λύκος ἔφη· „Ὦ οὗτος[16], οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ τόπος."

22. Γυνὴ καὶ ὄρνις.

Γυνή τις χήρα ὄρνιν εἶχε καθ' ἑκάστην ἡμέραν ᾠὸν αὐτῇ τίκτουσαν. Νομίσασα δὲ, ὡς, εἰ πλείους τῇ ὄρνιθι κριθὰς παραβάλοι, δὶς τέξεται[17] τῆς ἡμέρας[18] τοῦτο ἐποίησεν. Ἡ δ' ὄρνις, πιμελὴς γενομένη, οὐδὲ ἅπαξ τεκεῖν ἐδύνατο.

23. Κύων κρέας φέρουσα.

Κύων κρέας ἔχουσα ποταμὸν διέβαινε· θεασαμένη δὲ τὴν ἑαυτῆς σκιὰν κατὰ τοῦ ὕδατος, ὑπέλαβεν ἑτέραν κύνα εἶναι μεῖζον κρέας ἔχουσαν· διόπερ ἀφεῖσα τὸ ἴδιον, ὥρμησεν ὡς τὸ ἐκείνης ἀφαιρησομένη[19]. Συνέβη δ' αὐτῇ ἀμφοτέρων στερηθῆναι, τοῦ μὲν οὐ ἐφικομένῃ, διότι οὐδὲ ἦν, τοῦ δ', ὅτι ὑπὸ τοῦ ποταμοῦ παρεσύρη.

24. Ἀλώπηξ καὶ βότρυες.

Ἀλώπηξ πεινῶσα, ὡς ἐθεάσατο ἐπί τινος ἀναδενδράδος βότρυς κρεμαμένους, ἠβουλήθη αὐτῶν περιγενέσθαι καὶ οὐκ ἠδύνατο. Ἀπαλλαττομένη δὲ πρὸς ἑαυτὴν εἶπεν· „Ὄμφακές εἰσιν."

25. Λέων καὶ λαγωός.

Λέων ἐπιτυχὼν λαγωῷ κοιμωμένῳ τοῦτον ἔμελλε καταφαγεῖν· μεταξὺ δὲ θεασάμενος ἔλαφον παριοῦσαν, ἀφεὶς τὸν λαγωὸν ἐκείνην ἐδίωκεν. Ὁ μὲν οὖν ἀπὸ τοῦ ψόφου ἐξαναστὰς ἔφυγεν·

---

[15] παρατρέχω. — [16] sieh Anm. 6. — [17] τίκτω. — [18] innerhalb welcher Zeit? — [19] im Deutschen ein Finalsatz.

ὁ δὲ λέων, ἐπὶ πολὺ[20] διώξας τὴν ἔλαφον, ἐπειδὴ καταλαβεῖν οὐκ ἠδυνήθη, ἐπανῆλθεν ἐπὶ τὸν λαγωόν· εὑρὼν δὲ καὶ αὐτὸν πεφευγότα[21] ἔφη· „Ἀλλ' ἔγωγε δίκαια πέπονθα, ὅτι ἀφεὶς τὴν ἐν χερσὶ βορὰν ἐλπίδα μείζονα προὔκρινα.“

26. Γεωργὸς καὶ ἀλώπηξ.

Γεοργῷ πονηρῷ φθόνον ἐνεποίει τὸ τοῦ γείτονος αὐξανόμενον λήιον, καὶ διαφθείρειν τοὺς ἐκείνου πόνους ἐζήτει. Καὶ θηράσας ἀλώπεκα, προσάψας δαλὸν πρὸς τὸ τοῦ γείτονος ἀφίησι λήιον. Ἡ δὲ καθ' ἧς[22] ἀφεῖτο οὐ παριοῦσα, βουλομένου τοῦ δαίμονος τὸ τοῦ πέμψαντος ἐνέπρησεν λήιον.

27. Βοηλάτης καὶ Ἡρακλῆς.

Βοηλάτης ἐκ κώμης ἅμαξαν ἦγε· ταύτης δὲ ἐμπεσούσης εἰς φάραγγα κοιλώδη, ἀργὸς ἵστατο τῷ Ἡρακλεῖ προσευχόμενος. Ὁ δὲ θεὸς ἐπιστὰς εἶπε· „Τῶν τροχῶν ἅπτου καὶ τοὺς βόας νύττε, καὶ τότε τῷ θεῷ εὔχου, ὅταν καὐτός τι ποιῇς· μὴ μέντοι γε μάτην εὔχου.“

28. Βουκόλος.

Βουκόλος βόσκων ἀγέλην ταύρων ἀπώλεσε μόσχον· περιελθὼν δὲ καὶ οὐχ εὑρών, εὔξατο τῷ Διί, ἐὰν τὸν κλέπτην εὕρῃ, ἔριφον αὐτῷ θῦσαι. Ἐλθὼν δὲ εἴς τινα δρυμὸν καὶ θεασάμενος λέοντα κατεσθίοντα τὸν μόσχον, περίφοβος γενόμενος, ἐπάρας εἰς τὸν οὐρανὸν τὰς χεῖρας εἶπε· „Δέσποτα Ζεῦ, πάλαι μέν σοι εὐξάμην ἔριφον θῦσαι, ἐὰν τὸν κλέπτην εὕρω· νῦν δὲ ταῦρον θύσω, ἐὰν τὰς τοῦ κλέπτου χεῖρας ἐκφύγω.“

29. Δειλὸς κυνηγὸς καὶ δρυτόμος.

Λέοντός τινος ἴχνη ἐζήτει κυνηγός· δρυτόμον δὲ ἐρωτήσας, εἰ εἶδεν ἴχνη λέοντος, καὶ ποῦ κοιτάζει, ἔφη· „Καὶ αὐτὸν τὸν λέοντα ἤδη σοι δείξω.“ Ὁ δὲ ὠχριάσας ἐκ τοῦ φόβου καὶ τοὺς ὀδόντας συγκρούων εἶπεν· „Ἴχνη μόνα ζητῶ, οὐχὶ αὐτὸν τὸν λέοντα.“

30. Δηχθεὶς[23] ὑπὸ μύρμηκος καὶ Ἑρμῆς.

Ναῦν ποτε μετὰ τῶν ἀνθρώπων βυθισθεῖσαν ἰδών τις, ἀδίκως ἔλεγε τοὺς θεοὺς κρίνειν· „Δι' ἕνα γὰρ ἀσεβῆ συναπω-

---

[20] auf eine große Strecke. — [21] s. erste Abth. § 50a. 1. — [22] ergänze χώρας; οὐ παριοῦσα ἐς τὴν χώραν, καθ' ἧς etc. — [23] δάκνω.

λοντο καὶ ἀναίτιοι.“ Ταῦτα αὐτοῦ λέγοντος, μυρμήκων πολλῶν ὄντων ἐν τῷ τόπῳ, ἐν ᾧ ἔτυχεν ἱστάμενος, συνέβη ὑφ᾽ ἑνὸς δηχθῆναι τούτων. Ὁ δὲ ὑφ᾽ ἑνὸς δηχθεὶς συνεπάτησε τοὺς πάντας. Ἑρμῆς δ᾽ ἐπιστὰς αὐτῷ καὶ τῇ ῥάβδῳ παίων εἶπεν· „Εἶτα οὐχ ἀνέχῃ σὺ τοὺς θεοὺς δικαστὰς ὄντας[24], οἷος εἶ σὺ τῶν μυρμήκων;“

31. Ἔλαφος καὶ ἄμπελος.

Ἔλαφος κυνηγοὺς φεύγουσα ὑπ᾽ ἀμπέλῳ ἐκρύβη. Παρελθόντων δ᾽ ὀλίγον ἐκείνων, ἡ ἔλαφος τελέως ἤδη λαθεῖν δόξασα τῶν τῆς ἀμπέλου φύλλων ἐσθίειν ἤρξατο. Τούτων δὲ σειομένων οἱ κυνηγοὶ ἐπιστραφέντες καί, ὅπερ ἦν ἀληθές, νομίσαντες τῶν ζῴων ὑπὸ τοῖς φύλλοις τι κρύπτεσθαι, βέλεσιν ἀνεῖλον τὴν ἔλαφον. Ἡ δὲ ἀποθνήσκουσα τοιαῦτ᾽ ἔλεγε· „Δίκαια πέπονθα· οὐ γὰρ ἔδει[25] τὴν σώσασάν με λυμαίνεσθαι.“

32. Ξυλευόμενος καὶ Ἑρμῆς.

Ξυλευόμενός τις παρά τινα ποταμὸν τὸν οἰκεῖον ἀπέβαλε πέλεκυν. Ἀμηχανῶν τοίνυν παρὰ τὴν ὄχθην καθίσας ὠδύρετο. Ἑρμῆς δὲ μαθὼν τὴν αἰτίαν καὶ οἰκτείρας τὸν ἄνθρωπον, καταδὺς εἰς τὸν ποταμὸν χρυσοῦν ἀνήνεγκε[26] πέλεκυν, καὶ εἰ οὗτός ἐστιν, ὃν ἀπώλεσεν, ἤρετο. Τοῦ δὲ μὴ τοῦτον εἶναι φαμένου[27] αὖθις καταβὰς ἀργυροῦν ἀνεκόμισε. Τοῦ δὲ μηδὲ τοῦτον εἶναι τὸν οἰκεῖον εἰπόντος, ἐκ τρίτου[28] καταβὰς ἐκεῖνον τὸν οἰκεῖον ἀνήνεγκε. Τοῦ δὲ τοῦτον ἀληθῶς εἶναι τὸν ἀπολώλοτα φαμένου, Ἑρμῆς ἀποδεξάμενος αὐτοῦ τὴν δικαιοσύνην, ἅπαντας αὐτῷ ἐδωρήσατο. Ὁ δὲ παραγενόμενος πάντα τοῖς ἑταίροις[29] τὰ συμβάντα διεξῆλθεν· ὧν εἷς τις τὰ ἴσα διαπράξασθαι ἐβουλεύσατο καὶ παρὰ τὸν ποταμὸν ἐλθὼν καὶ τὴν οἰκείαν ἀξίνην ἐξεπίτηδες ἀφεὶς εἰς τὸ ῥεῦμα κλαίων ἐκάθητο. Ἐπιφανεὶς οὖν ὁ Ἑρμῆς κἀκείνῳ καὶ τὴν αἰτίαν μαθὼν τοῦ θρήνου, καταβὰς ὁμοίως χρυσῆν ἀξίνην ἐξήνεγκε καὶ ἤρετο, εἰ ταύτην ἀπέβαλε. Τοῦ δὲ σὺν ἡδονῇ, „Ναὶ ἀληθῶς ἥδ᾽ ἐστί“ φήσαντος, μισήσας ὁ θεὸς τὴν τοσαύτην ἀναίδειαν, οὐ μόνον ἐκείνην κατέσχεν, ἀλλ᾽ οὐδὲ τὴν οἰκείαν ἀπέδωκεν.

---

[24] s. erste Abth. § 50a. 1. — [25] hätte — sollen. — [26] ἀναφέρω. — [27] Gramm. § 200. A. 2. — [28] zum dritten Male. — [29] ist auch zu παραγενόμενος hinzuzudenken.

33. Ἔλαφος καὶ μήτηρ.

Ἔλαφον ἡ μήτηρ ἐνουθέτει ταῦτα λέγουσα· „Κέρας, ὦ παῖ, παρὰ τῆς φύσεως εἴληφας, μεγέθει δὲ διενήνοχας[30] σώματος, καὶ οὐκ οἶδ' ὅ,τι παθὼν[31] ἀποδιδράσκεις ἐπιόντας τοὺς κύνας.“ Ταῦτα ἦν, καὶ[32] κυνῶν δρόμος ἠκούετο πόρρωθεν. Ἡ δὲ μένειν τῷ παιδὶ παραινέσασα[33] αὐτὴ τῆς φυγῆς προκατῆρξατο.

34. Κλέπται καὶ ἀλεκτρυών.

Κλέπται εἴς τινα εἰσελθόντες οἰκίαν οὐδὲν εὗρον, ὅτι μὴ[34] ἀλεκτρυόνα, καὶ τοῦτον λαβόντες ἀπῄεσαν. Ὁ δὲ μέλλων ὑπ' αὐτῶν θύεσθαι ἐδεῖτο ἑαυτὸν ἀπολῦσαι, λέγων χρήσιμος εἶναι τοῖς ἀνθρώποις, νυκτὸς[35] αὐτοὺς ἐπὶ τὰ ἔργα ἐγείρων. Οἱ δὲ ἔφασαν· „Ἀλλὰ διὰ τοῦτό σε μᾶλλον θύομεν· ἐκείνους γὰρ ἐγείρων[36] κλέπτειν ἡμᾶς οὐκ ἐᾷς.“

35. Λέων καὶ ἄρκτος.

Λέων καὶ ἄρκτος ὁμοῦ νεβρῷ περιτυχόντες περὶ τούτου ἐμάχοντο. Δεινῶς οὖν ὑπ' ἀλλήλων διατεθέντες, ὥστε ἐκ τῆς πολλῆς μάχης καὶ σκοτοδινιᾶσαι, ἀπαυδήσαντες ἔκειντο. Ἀλώπηξ δὲ κύκλῳ περιιοῦσα πεπτωκότας[37] αὐτοὺς ἰδοῦσα καὶ τὸν νεβρὸν ἐν τῷ μέσῳ κείμενον, τοῦτον διὰ μέσου ἀμφοῖν διαδραμοῦσα ἥρπασε καὶ φεύγουσα ᾤχετο. Οἱ δὲ βλέποντες μὲν αὐτήν, οὐ δυνάμενοι δὲ ἀναστῆναι, εἶπον· „Ἄθλιοι ὄντως ἡμεῖς, ὅτι δι' ἀλώπεκα ἐμοχθοῦμεν.“

36. Λύκος καὶ λέων.

Λύκος ποτὲ ἄρας πρόβατον ἐκ ποιμνίου ἐκόμιζεν αὐτὸ εἰς κοίτην· Λέων δὲ αὐτῷ συναντήσας ἀφείλετο τὸ πρόβατον. Ὁ δὲ πόρρωθεν στὰς εἶπεν· „Ἀδίκως ἀφείλου τὸ ἐμόν.“ Ὁ δὲ λέων γελάσας ἔφη· „Σοὶ γὰρ δικαίως ὑπὸ φίλου ἐδόθη!“

37. Ὄνος καὶ λύκος.

Ὄνος πατήσας σκόλοπα χωλὸς εἱστήκει. Λύκον δὲ ἰδὼν ἔφη αὐτῷ· „Ὦ λύκε, ἰδοὺ ἐκ τοῦ πόνου ἀποθνήσκω· καὶ δεῖ με

---

[30] διαφέρω. — [31] τί παθὼν ἀποδιδράσκεις; Was ficht dich an, daß du davonläufst? — [32] So stand es, als = kaum hatte sie gesprochen, als. — [33] die doch — hatte. — [34] außer. — [35] zu welcher Zeit? — [36] mit dadurch daß aufzulösen. — [37] Erste Abth. § 50a. 1.; von πίπτω.

μᾶλλον σοῦ γενέσθαι δεῖπνον ἢ γυπῶν ἢ κοράκων. Χάριν δὲ μίαν αἰτῶ σε, ἐξελεῖν πρῶτον τὸν σκόλοπα ἐκ τοῦ ποδός μου, ὅπως μὴ μετὰ πόνου τεθνήξομαι." Ὁ δὲ λύκος ἄκροις ὀδοῦσι δακὼν τὸν σκόλοπα ἐξεῖλεν. Ὁ ὄνος δὲ λυθεὶς τοῦ πόνου, ἐπὶ τὸν λύκον χάσκοντα λακτίσας φεύγει, ῥῖνας καὶ μέτωπον καὶ ὀδόντας συνθλάσας. Ὁ δὲ λύκος ἔφη· „Οἴμοι, δίκαια πάσχω, ὅτι μάγειρος εἶναι μαθὼν[38]*, τὸ πρῶτον νῦν ἱππίατρος ἠθέλησα γενέσθαι."*

38. *Κύων καὶ λύκος.*

Κύων πρὸ ἐπαύλεώς τινος ἐκάθευδε. Λύκου δ' ἐπιδραμόντος καὶ βρῶμα[39] *μέλλοντος θύσειν αὐτόν, ἐδεῖτο μὴ νῦν αὐτὸν καταθῦσαι. „Νῦν μὲν γάρ, φησί, λεπτός εἰμι καὶ ἰσχνός· ἐὰν δὲ μικρὸν ἀναμείνῃς, μέλλουσιν οἱ ἐμοὶ δεσπόται ποιήσειν γάμους, κἀγὼ τηνικαῦτα πολλὰ φαγὼν πιμελέστερος ἔσομαι καὶ σοὶ ἡδύτερον βρῶμα γενήσομαι." Ὁ μὲν οὖν λύκος πεισθεὶς ἀπῆλθε· μεθ' ἡμέρας*[40] *δ' ἐπανελθὼν εὗρεν ἄνω ἐπὶ τοῦ δώματος τὸν κύνα καθεύδοντα*[41]*, καὶ στὰς κάτωθεν πρὸς ἑαυτὸν ἐκάλει ὑπομιμνήσκων αὐτὸν τῶν συνθηκῶν. Καὶ ὁ κύων· „Ἀλλ' ὦ λύκε, ἔφη, εἰ τὸ ἀπὸ τοῦδε*[42] *πρὸ τῆς ἐπαύλεώς με ἴδοις*[43] *καθεύδοντα, μηκέτι γάμους ἀναμείνῃς"*[44].

II. Treffende Antworten, sinnreiche Einfälle, kleine Erzählungen.

A.

1. Werth der Mutterthränen.

Ἀλέξανδρος, ἐπεὶ Ἀντίπατρος αὐτῷ πολλὰ κατὰ τῆς μητρὸς ἔγραψεν, „Ἀγνοεῖς, ἔφη, Ἀντίπατρε, ὅτι μητρὸς ἓν δάκρυον πολλὰς διαβολῶν ἐπιστολὰς ἀπαλείφει."

2. Aller Anfang ist schwer.

Λάμπις ὁ ναύκληρος ἐρωτηθείς, πῶς ἐκτήσατο τὸν πλοῦτον, „Οὐ χαλεπῶς, ἔφη, τὸν μέγαν, τὸν δὲ βραχὺν ἐπιπόνως."

---

[38] mit während doch aufzulösen. — [39] zum F. — [40] nach einiger Zeit. — [41] s. erste Abth. § 50a. 1. — [42] von jetzt an, noch einmal. — [43] s. erste Abth. § 25a. 3. — [44] Statt des verneinenden Imperativs der 2. Person des Aoristes steht regelmäßig der Konjunktiv.

3. Gut Ding braucht gute Weile.

Ζεῦξις αἰτιωμένων αὐτόν τινων ὅτι ζωγραφεῖ βραδέως, „Ὁμολογῶ, ἔφη, ἐν πολλῷ χρόνῳ γράφειν, καὶ γὰρ εἰς πολύν.“

4. Gewandte Vertheidigung.

Ἀντίγονος εἰσέπραττε χρήματα συντόνως· λέγοντος δέ τινος, „Ἀλλ' οὐκ Ἀλέξανδρος ἦν τοιοῦτος“, „Εἰκότως, ἔφη, ἐκεῖνος μὲν γὰρ ἐθέριζε τὴν Ἀσίαν, ἐγὼ δὲ καλαμῶμαι.“

5. List des Alkibiades.

Ἀλκιβιάδης ἔχων κύνα πάγκαλον ἐωνημένον ἑπτακισχιλίων δραχμῶν[1]*, ἀπέκοψεν αὐτοῦ τὴν οὐράν, „Ὅπως, ἔφη, τοῦτο λέγωσιν Ἀθηναῖοι περὶ ἐμοῦ, καὶ μηδὲν ἄλλο πολυπραγμονῶσιν.“*

6. Werth der Gerechtigkeit.

Ἀγησίλαος, περὶ ἀνδρείας καὶ δικαιοσύνης ἐρωτηθείς, ποτέρα βελτίων, „Οὐδὲν ἀνδρείας, ἔφη, χρήζομεν, ἐὰν πάντες ὦμεν δίκαιοι.“

7. Der prächtige Schild.

Σκηπίων τινὸς θυρεῷ ἀγαλλομένου εὖ κεκοσμημένῳ, „Ὁ μὲν θυρεός, ἔφη, ὦ νεανία, καλός· πρέπει δὲ Ῥωμαῖον ἄνδρα μᾶλλον ἐν τῇ δεξιᾷ τὰς ἐλπίδας ἔχειν, ἢ τῇ ἀριστερᾷ.“

8. Wahre Größe.

Ἀγησίλαος, εἰθισμένων τῶν τὴν Ἀσίαν κατοικούντων τὸν Περσῶν βασιλέα μέγαν προσαγορεύειν, „Τί δὲ ἐκεῖνος ἐμοῦ μείζων, ἔφη, εἰ μὴ δικαιότερος καὶ σωφρονέστερος;“

9. Agis und seine Neider.

Ἆγις πρὸς τοὺς λέγοντας, ὅτι φθονοῦσί τινες αὐτῷ τῶν ἐκ τῆς ἑτέρας οἰκίας, „Οὐκοῦν, ἔφη, τὰ ἴδια αὐτοὺς κακὰ λυπήσει, καὶ πρὸς τούτοις τά τε ἐμὰ καὶ τὰ τῶν ἐμῶν φίλων ἀγαθά.“

10. Das Wunder.

Λεωτυχίδης, ὡς δράκοντος περὶ τὴν τῆς πύλης κλεῖν ἑλιχθέντος οἱ μάντεις τέρας ἀπεφήναντο εἶναι, „Οὐδὲν ἔμοιγ', ἔφη, δοκεῖ, ἀλλ' εἰ[2] *ἡ κλεὶς τῷ δράκοντι περιειλίχθη*[2]*, τέρας ἂν ἦν“*[3].

II. A. [1] Genet. pretii. — [2] wenn sich — hätte. — [3] Conditionalis der Gegenwart.

11. Vergebenes Bemühen.

Διογένης ἐνουθέτει τινὰ πονηρόν· ἐρωτώμενος δὲ ὑπό τινος, „Τί τοῦτο[4] ποιεῖς;" ἔφη· „Αἰθίοπα σμήχω, ἵνα λευκὸν ποιήσω."

12. Sokrates als Schüler.

Σωκράτης ἐν γήρᾳ κιθαρίζων παρὰ Κόννῳ τῷ κιθαρῳδῷ ἐτύγχανε· καί τινος λέγοντος, „Κιθαρίζεις τηλικοῦτος ὤν;" „Κρεῖττον, ἔφη, ὀψιμαθῆ εἶναι ἢ ἀμαθῆ."

13. Kühnheit des Antiphon.

Ἀντιφῶν, παρὰ Διονυσίῳ ζητήσεως οὔσης καὶ λόγου, ποῖος χαλκὸς ἄριστος, „Ἐκεῖνος, ἔφη, ἐξ οὗ παρεσκεύασαν Ἀθηναῖοι τὰς Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνας."

14. Nutzen der Feinde.

Νασικᾶς, οἰομένων τινῶν καὶ λεγόντων ἐν ἀσφαλεῖ εἶναι τὰ τῶν Ῥωμαίων πράγματα, Καρχηδονίων μὲν ἀνῃρημένων, Ἀχαιῶν δὲ δεδουλωμένων, „Νῦν μὲν οὖν, ἔφη, ἐπισφαλῶς ἔχομεν, οὔτε οὓς φοβηθῶμεν[5], οὔτε οὓς αἰσχυνθῶμεν[5] ἀπολελοιπότες."

15. Diogenes und der Verschwender.

Διογένης θεασάμενος ἄσωτον ἐν πανδοκείῳ ἐλάας ἐσθίοντα[6] ἔφη· „Εἰ οὕτως ἠρίστας, οὐκ ἂν οὕτως ἐδείπνεις"[7].

16. Gleichmuth des Sokrates.

Σωκράτης Ἀλκιβιάδου λέγοντος, ὅτι οὐκ ἀνεκτὴ ἡ Ξανθίππη λοιδοροῦσα[8], „Οὐ καὶ σύ, ἔφη, χηνῶν βοώντων ἀνέχῃ;"

17. Der Trinker.

Ἀρίστιππος, αὐχοῦντός τινος ἐπὶ τῷ[9] πολλὰ πίνειν καὶ μὴ μεθύσκεσθαι, „Τοῦτο καὶ ἡμίονος"[10], ἔφη.

18. Der hölzerne Götze.

Ἄνθρωπός τις ξύλινον ἔχων θεόν, πενὴς ὢν εὔχετο αὐτῷ πλοῦτον. Ὡς δὲ μᾶλλον πενίᾳ ἐπιέζετο, θυμωθεὶς ἐκ[11] τοῦ σκέλους ἄρας αὐτὸν τῷ τοίχῳ προσέκρουσε. Τῆς δὲ κεφαλῆς αὐτοῦ παραχρῆμα κλασθείσης, ἐθεάσατο πολὺν χρυσὸν ῥέοντα

---

[4] was thust du da? (als was thust du dieses?) — [5] Deliberativus. — [6] sieh erste Abth. § 50a. 1. — [7] Conditionalis der Gegenwart; ἀριστᾶν ist bildlich zu verstehen von der Lebensweise in der Jugend; dem entsprechend δειπνεῖν von der Lebensweise im Alter. — [8] mit wann aufzulösen. — [9] ἐπὶ τῷ — πίνειν damit, daß ꝛc. — [10] ergänze ποιεῖ. — [11] am.

ἐξ αὐτῆς, ὃν συναγαγὼν ὁ ἄνθρωπος ἐβόα· „Ὦ τῆς πολλῆς ἀφροσύνης! τιμῶντά σε[12] *γὰρ οὐδὲν ὠφέλησας με· καταθραύσαντα δὲ πολλοῖς ἀγαθοῖς ἠμείψω."*

19. Ein Pferd als Kunstrichter.

Ἀλέξανδρος θεασάμενος τὴν ἐν Ἐφέσῳ εἰκόνα ἑαυτοῦ τὴν ὑπὸ Ἀπελλοῦ γραφεῖσαν οὐκ ἐπῄνεσε κατὰ τὴν ἀξίαν τοῦ γράμματος. Εἰσαχθέντος δὲ τοῦ ἵππου καὶ χρεμετίσαντος πρὸς τὸν ἵππον τὸν ἐν τῇ εἰκόνι ὡς πρὸς ἀληθινόν, „Ὦ βασιλεῦ, ἔφη ὁ Ἀπελλῆς, ἀλλ' ὅ γε ἵππος ἔοικε πολλῷ σου γραφικώτερος εἶναι."

20. Alexander im Ammonium.

Ἀλέξανδρος ἐν Ἄμμωνος[14] *ὑπὸ τοῦ προφήτου παῖς Διὸς προσαγορευθείς, „Οὐδέν γε, ἔφη, θαυμαστόν· πάντων μὲν γὰρ ὁ Ζεὺς φύσει πατήρ ἐστιν, ἑαυτοῦ δὲ ποιεῖται*[15] *τοὺς ἀρίστους."*

21. Philipp und die Verräther.

Τῶν περὶ Λασθένην[16] *τὸν Ὀλύνθιον ἐγκαλούντων καὶ ἀγανακτούντων, ὅτι προδότας αὐτοὺς ἔνιοι τῶν περὶ τὸν Φίλιππον ἀποκαλοῦσι, „Σκαιοί, ἔφη ὁ Φίλιππος, φύσει καὶ ἄγροικοί εἰσιν οἱ Μακεδόνες, καὶ τὴν σκάφην σκάφην λέγουσιν"*[17].

22. Selbstgefühl des Antigonus.

Ἀντίγονος μέλλων ναυμαχεῖν πρὸς τοὺς Πτολεμαίου στρατηγούς, λέγοντος τοῦ κυβερνήτου πολὺ πλείονας εἶναι τὰς τῶν πολεμίων ναῦς, „Ἐμὲ δέ, ἔφη, αὐτὸν[18] *παρόντα πρὸς πόσας ἀντιτάττεις;"*

23. Sanftmuth des Sokrates.

Σωκράτης λακτίσαντος αὐτὸν νεανίσκου θρασέος μάλα καὶ βδελυροῦ, τοὺς ἀμφ' αὐτὸν ὁρῶν ἀγανακτοῦντας ὥστε καὶ διώκειν αὐτὸν ἐθέλειν, „Ἆρα, ἔφη, καὶ εἴ[19] *με ὄνος ἐλάκτισεν, ἀντιλακτίσαι τοῦτον ἠξιώσατε ἄν;"*[20] *Οὐ μὴν ἐκεῖνός γε παντελῶς ἀζήμιος ἀπήλλαξε· πάντων γὰρ αὐτῶν ὀνειδιζόντων καὶ λακτιστὴν ἀποκαλούντων ἀπήγξατο.*

---

[12] *σε* ist Objekt zu *τιμῶντα*: so lange ich dich ehrte. — [13] *ἀλλὰ — γε* doch wenigstens, wirklich. — [14] ergänze *ἱερῷ*. — [15] erkennt als die Seinen an. — [16] Lasthenes hatte für Geld seine Vaterstadt an Philipp verrathen. — [17] d. i. jedes Ding beim rechten Namen. — [18] persönlich (während Ptolemäus nicht selber kommandierte). — [19] wenn — hätte. — [20] Conditionalis der Vergangenheit.

24. Cicero und Cotta.

Κικέρων ὁ ῥήτωρ Κότταν νομικὸν εἶναι βουλόμενον, ὄντα δὲ ἀμαθῆ καὶ ἀφυῆ, προσεκαλεῖτο μάρτυρα πρός τινα δίκην. λέγοντος δ' ἐκείνου μηδὲν γιγνώσκειν, „Οἴει γὰρ ἴσως, ἔφη, περὶ τῶν νομίμων ἐπερωτᾶσθαι."

25. Die Fliege als Abzeichen.

Λάκων τις ἐπὶ τῆς ἀσπίδος μυῖαν ἔχων ἐπίσημον καὶ ταύτην οὐ μείζω τῆς ἀληθινῆς, ὡς καταγελῶντές τινες ἔλεγον, ὑπὲρ τοῦ[21] λανθάνειν τοῦτο πεποιηκέναι αὐτόν, „Ἵνα μὲν οὖν, ἔφη, φανερὸς ὦ[22]· οὕτω γὰρ τοῖς πολεμίοις πλησίον προσέρχομαι, ὥστε τὸ ἐπίσημον ὑπ' αὐτῶν ὁρᾶσθαι."

26. Der Urtheilsspruch des Philippus.

Φίλιππος ὁ Ἀλεξάνδρου πατὴρ κρίνων περὶ δυοῖν πονηροῖν ἀνθρώποιν, τὸν μὲν ἐκέλευσε φεύγειν ἐκ Μακεδονίας, τὸν δὲ ἕτερον, διώκειν[23].

27. Diogenes und der Grämliche.

Διογένης ἄνθρωπόν ποτε δύσκολον ᾔτει· τοῦ δὲ λέγοντος, „Ἐάν με πείσῃς"[24], ἔφη· „Εἴ σε πεῖσαι οἷός τ' ἦν[25], ἔπεισά[26] σε ἂν ἀπάγξασθαι."

28. Der entlaufene Sklave.

Ἡνίκα Διογένης ἀπέλιπε Σινώπην τὴν πατρίδα, εἷς αὐτῷ τῶν οἰκετῶν ἠκολούθει, ὄνομα[27] Μάνης· ὃς οὐ φέρων τὴν μετ' αὐτοῦ διατριβὴν ἐδραπέτευσε παρ' αὐτοῦ. Προτρεπόντων δέ τινων ζητεῖν αὐτόν, ἔφη· „Οὐκ αἰσχρόν ἐστι Μάνην μὲν μὴ δεῖσθαι Διογένους, Διογένην δὲ Μάνους;"

B.

29. Fabius Maximus und sein Sohn.

Φάβιος Μάξιμος ἤδη πρεσβύτερος ὤν, ὑπατεύοντος τοῦ υἱοῦ καὶ χρηματίζοντος δημοσίᾳ πολλῶν παρόντων, ἀναβὰς ἐφ' ἵππου προῄει· πέμψαντος δὲ τοῦ νεανίσκου ῥαβδοῦχον καὶ καταβῆναι κελεύσαντος, οἱ μὲν ἄλλοι διετράπησαν, αὐτὸς δὲ

---

[21] deßwegen, um. — [22] ergänze πεποίηκα. — [23] ergänze ἐκεῖνον. — [24] = wenn du mir Gründe für eine Gabe vorzubringen weißt. — [25] im Stande wäre. — [26] Conditionalis der Vergangenheit. — [27] mit Namen.

ὁ Φάβιος ἀποπηδήσας τοῦ ἵππου προσέδραμε παρ' ἡλικίαν[1], καὶ περιβαλὼν τὸν υἱόν, „Εὖγε, εἶπεν, ὦ παῖ, φρονεῖς αἰσθόμενος, τίνων ἄρχεις, καὶ πηλίκης ἀρχῆς μέγεθος παρείληφας."

30. Das Hündchen der kleinen Tertia.

Παῦλος Αἰμίλιος ἐλθὼν εἰς οἶκον ἐξ ἀγορᾶς, καὶ τὴν Τερτίαν τὸ θυγάτριον εὑρὼν δεδακρυμένον, ἐπυνθάνετο τὴν αἰτίαν. Εἰπούσης δέ, ὅτι[2] „Περσεὺς τέθνηκεν ἡμῖν" (κυνίδιον δ' ἦν οὕτως ὀνομαζόμενον), „Ἀγαθῇ τύχῃ, εἶπεν, ὦ θύγατερ, καὶ δέχομαι τὸν οἰωνόν"[3].

31. Ehrgeiz des Cäsar.

Γάιος Καῖσαρ πολίχνιον λυπρὸν ἐν ταῖς Ἄλπεσι παρελθών, τῶν φίλων διαπορούντων, εἰ καὶ ἐνταῦθά τινες στάσεις εἰσὶ καὶ ἅμιλλαι περὶ πρωτείων, ἐπιστὰς καὶ σύννους γενόμενος, „Μᾶλλον ἄν, ἔφη, ἐβουλόμην[4] πρῶτος εἶναι ἐνταῦθα ἢ δεύτερος ἐν Ῥώμῃ."

32. Themistokles und der Seriphier.

Θεμιστοκλῆς Σεριφίου τινὸς πρὸς αὐτὸν εἰπόντος, ὡς οὐ δι' αὐτόν, ἀλλὰ διὰ τὴν πόλιν ἔνδοξός ἐστιν, „Ἀληθῆ λέγεις, εἶπεν, ἀλλ' οὔτ' ἂν ἐγὼ Σερίφιος[5] ὢν ἐγενόμην[6] ἔνδοξος, οὔτε σὺ Ἀθηναῖος."

33. Timotheus und seine Neider.

Τιμόθεος εὐτυχὴς ἐνομίζετο στρατηγὸς εἶναι· καὶ φθονοῦντες αὐτῷ τινες ἐζωγράφουν τὰς πόλεις εἰς κύρτον αὐτομάτως ἐκείνου καθεύδοντος ἐνδυομένας[7]· ἔλεγεν οὖν ὁ Τιμόθεος· „Εἰ τηλικαύτας πόλεις λαμβάνω καθεύδων, τί με οἴεσθε ποιήσειν ἐγρηγορότα;"

34. Eudamidas in der Akademie.

Εὐδαμίδας ἰδὼν Ξενοκράτην ἐν Ἀκαδημίᾳ πρεσβύτερον ἤδη μετὰ τῶν γνωρίμων φιλοσοφοῦντα, ἐπύθετο, τίς ὁ πρεσβύτης ἐστίν. Εἰπόντος δέ τινος, ὅτι σοφὸς ἀνὴρ καὶ τῶν ζητούντων[8] τὴν ἀρετήν, „Καὶ πότε, ἔφη, χρήσεται, εἰ ἄρτι ζητεῖ;"

B. [1] gegen sein Alter = schneller als man es bei seinem Alter erwarten konnte. — [2] ὅτι vor direkter Rede bleibt unübersetzt. — [3] Er zog nämlich damals gegen den Makedonierkönig Perseus. — [4] mallem, Potentialis der Vergangenheit. — [5] Seriphos ist nämlich eine der kleinsten Kykladen. — [6] Conditionalis der Vergangenheit. — [7] mit wie aufzulösen. — [8] Genet. partitivus.

35. Dionysios und sein ausschweifender Sohn.

Διονύσιος ὁ πρεσβύτερος τὸν υἱὸν αἰσθόμενος, ᾧ τὴν ἀρχὴν καταλείπειν ἔμελλεν, αἰσχρόν τι δράσαντα[9], *ἤρετο μετ' ὀργῆς, τί τοιοῦτον αὐτῷ*[10] *σύνοιδεν. Εἰπόντος δὲ τοῦ νεανίσκου, „Σὺ γὰρ οὐκ εἶχες πατέρα τύραννον!"*[11] *„Οὐδὲ σύ, εἶπεν, υἱὸν ἕξεις, ἐὰν μὴ παύσῃ ταῦτα ποιῶν"*[12].

36. Ein Schreck als Strafe.

Παπίριος ἐφοδεύων ποτὲ τὰς φυλακὰς καὶ μὴ εὑρὼν τὸν Πραινεστίνων στρατηγὸν ἐν τῇ τάξει ὄντα[13], *ἠγανάκτησεν· εἶτα μεταπεμψάμενος αὐτόν, ἐκέλευσε τὸν ῥαβδοῦχον τὸν πέλεκυν προχειρίσασθαι· ἐκπλαγέντος δὲ ἐκείνου πρὸς τοῦτο καὶ καταδείσαντος, τῷ τε φόβῳ αὐτοῦ ἠρκέσθη καὶ οὐδὲν ἔτι δεινὸν αὐτὸν ἔδρασεν, ἀλλὰ ῥίζας τινὰς παρὰ τὰ σκηνώματα οὔσας ἐκκόψαι τῷ ῥαβδούχῳ, ἵνα μὴ τοὺς παριόντας λυπῶσι, προσέταξεν.*

37. Belohnte Schlauheit.

Διονύσιος ὁ πρεσβύτερος, ξένου τινὸς ἰδίᾳ φράσειν φάσκοντος αὐτῷ καὶ διδάξειν, ὅπως προειδῇ τοὺς ἐπιβουλεύοντας, ἐκέλευσεν εἰπεῖν. Ἐπεὶ δὲ προσελθών, „Δός μοι, εἶπε, τάλαντον, ἵνα δόξῃς ἀκηκοέναι τὰ σημεῖα τῶν ἐπιβουλευόντων·" ἔδωκε προσποιούμενος ἀκηκοέναι καὶ ἐθαύμαζε τὴν ἀγχίνοιαν τοῦ ἀνθρώπου.

38. Zurechtweisung und Anerkennung.

Ἀρχέλαος αἰτηθεὶς παρὰ πότον ποτήριον χρυσοῦν ὑπό τινος τῶν συνήθων, οὐ μὴν ἐπιεικῶν, ἐκέλευσεν Εὐριπίδῃ τὸν παῖδα δοῦναι[14]. *Θαυμάσαντος δὲ τοῦ ἀνθρώπου, „Σὺ μὲν γάρ, εἶπεν, αἰτεῖν, οὗτος δὲ λαμβάνειν ἄξιός ἐστι καὶ μὴ αἰτῶν."*

39. Sanftmuth des Archelaos.

Ἀρχέλαος, ὕδωρ τινὸς αὐτοῦ[15] *κατασκεδάσαντος, ὑπὸ τῶν φίλων παροξυνόμενος ἐπὶ τὸν ἄνθρωπον, „Ἀλλ' οὐκ ἐμοῦ, ἔφη, ἀλλ' ἐκείνου κατεσκέδασεν, ὃν ἔδοξεν ἐμὲ εἶναι."*

---

[9] sieh erste Abth. § 50a. 1. — [10] von ihm. — [11] einen Herrscher zum Vater. — [12] im Deutschen Infin. — [13] § 50a. 1. — [14] ergänze *αὐτό*. Der Dichter Euripides verbrachte die letzten Jahre seines Lebens am Hofe des Archelaos. — [15] Objekt.

40. Der indische Schütze.

Ἀλέξανδρος τῶν Ἰνδῶν τὸν ἄριστα τοξεύειν δοκοῦντα καὶ λεγόμενον[16] διὰ δακτυλίου τὸν ὀϊστὸν ἀφιέναι λαβὼν αἰχμάλωτον ἐκέλευσεν ἐπιδείξασθαι, καὶ μὴ βουλόμενον ὀργισθεὶς ἀνελεῖν προσέταξεν. Ἐπεὶ δὲ ἀγόμενος ὁ ἄνθρωπος ἔλεγε πρὸς τοὺς ἄγοντας, ὅτι πολλῶν ἡμερῶν[17] οὐ μεμελέτηκε καὶ ἐφοβήθη διαπεσεῖν, ἀκούσας ὁ Ἀλέξανδρος ἐθαύμασε καὶ ἀπέλυσε μετὰ δώρων αὐτόν, ὅτι μᾶλλον ἀποθανεῖν ὑπέμεινεν ἢ τῆς δόξης ἀνάξιος φανῆναι.

41. Scipio als Angeklagter.

Σκηπίων ὁ πρεσβύτερος ἐνίων πολλὰ[18] πρὸς τὸν δῆμον αὐτοῦ κατηγορησάντων, εἰπών, ὅτι τῇ σήμερον ἡμέρᾳ Καρχηδονίους καὶ Ἀννίβαν ἐνίκησεν, αὐτὸς μὲν ἔφη στεφανωσάμενος ἀναβαίνειν εἰς τὸ Καπετώλιον θύσων[19], τὸν δὲ βουλόμενον τὴν ψῆφον ἐκέλευσε φέρειν περὶ αὐτοῦ. Καὶ ταῦτα εἰπὼν ἀνέβαινεν· ὁ δὲ δῆμος ἐπηκολούθησε τοὺς κατηγόρους ἀπολιπὼν λέγοντας[20].

42. Vaterlandsliebe als Trösterin.

Αἰμίλιος Παῦλος, τεσσάρων παίδων ἀρρένων αὐτῷ γεγονότων δύο μὲν πρότερον ἐτύγχανεν ἐκδεδωκὼς ἑτέροις θέσθαι[20]· δυοῖν δὲ ὄντων ἐπὶ τῆς οἰκίας, ὁ μὲν ἡμέραις πέντε[21] πρὸ τοῦ θριάμβου τεσσαρακαίδεκα γεγονὼς ἔτη ἀπέθανεν, ὁ δὲ ὕστερον πέντε τοῦ θριάμβου[23] δωδεκαέτης. Προελθὼν δέ, τοῦ δήμου συναλγοῦντος αὐτῷ καὶ συμπενθοῦντος, „Νῦν ἔφη, περὶ τῆς πατρίδος ἀδεὴς γέγονα καὶ ἀκίνδυνος, ὁπότε τῶν εὐτυχημάτων τὴν νέμεσιν εἰς τὸν ἐμὸν οἶκον ἀπερεισαμένης τῆς τύχης, ὑπὲρ πάντων ἐγὼ ἀναδέδεγμαι."

43. Marius und Silo.

Μάριος ἐν τῷ ἐμφυλίῳ πολέμῳ περιταφρευόμενος καὶ πολιορκούμενος ἐκαρτέρει τὸν οἰκεῖον ἀναμένων καιρόν. Εἰπόντος δὲ τοῦ Πομπαιδίου Σίλλωνος πρὸς αὐτόν, „Εἰ μέγας εἶ στρατηγός,

---

[16] der im Rufe stand. — [17] seit wann? — [18] § 24. 1 erste Abth. — [19] Nach Verben, die eine zu einem bestimmten Zwecke unternommene Bewegung bezeichnen, steht statt eines Finalsatzes das Particip des Futurs mit oder ohne ὡς. — [20] mitsammt ihren Reden. — [21] um .... — [22] um wie viel? wie lange? — [23] von ὕστερον abhängig.

ὦ Μάριε, καταβὰς διαγώνισαι!“ „Σὺ μὲν οὖν, εἶπεν, εἰ μέγας εἶ στρατηγός, ἀνάγκασόν με διαγωνίσασθαι καὶ μὴ βουλόμενον!“

44. Standhaftigkeit eines spartanischen Knaben.

Παῖδες Σπαρτιᾶται, ἐπεὶ παρῆν ὁ καιρός, ἐν ᾧ κλέπτειν ἐνενόμιστο τοὺς ἐλευθέρους παῖδας, ὅ,τι τις δύναιτο, καὶ μὴ λαθεῖν[24] αἰσχρὸν ἦν, ζῶν ἔκλεψαν ἀλωπέκιον καὶ ἔδοσαν ἑνὶ ἐξ σφῶν αὐτῶν φυλάττειν[25]. Παραγενομένων δὲ τῶν ἀπολωλεκότων ἐπὶ ζήτησιν, ἔτυχε μὲν ὑποβαλὼν τὸ ἀλωπέκιον ὑπὸ τὸ ἑαυτοῦ ἱμάτιον· ἀγριαίνοντος δὲ τοῦ θηρίου καὶ τὴν πλευρὰν αὐτοῦ κατεσθίοντος μέχρι τῶν σπλάγχνων, ἠρέμει, ἵνα μὴ γένηται καταφανής. Ὡς δὲ ὕστερον ἐκείνων ἀπελθόντων ἐθεάσαντο τὸ γεγονὸς οἱ παῖδες καὶ ἐμέμφοντο λέγοντες ἀμεῖνον εἶναι[26] φανερὸν ποιῆσαι τὸ ἀλωπέκιον ἢ μέχρι θανάτου κρύπτειν, „Οὐ μὲν οὖν, εἶπεν, ἀλλὰ κρεῖττον ταῖς ἀλγηδόσι τελευτᾶν ἢ φωραθέντα διὰ μαλακίαν αἰσχρῶς σωθῆναι.“

45. Werth vaterländischer Erziehung.

Μετὰ τὴν Ἄγιδος ἧτταν ὁμήρους αἰτοῦντος Ἀντιπάτρου πεντήκοντα παῖδας Ἐτεοκλῆς ἐφορεύων εἶπε· „Παῖδας μὲν οὐ δώσομεν, ἵνα μὴ ἀπαίδευτοι γένωνται τῆς πατρίου ἀγωγῆς· οὐδὲ πολῖται[27] ἂν εἴησαν· πρεσβύτας δ' ἢ γυναῖκας, ἐὰν βούλῃ, διπλασίους δώσομεν.“ Ἀπειλοῦντος δ' αὐτοῦ δεινά, εἰ μὴ λάβοι, ἀπεκρίναντο κοινῇ· „Ἐὰν χαλεπώτερα θανάτου ἐπιτάττῃς, εὐκολώτερον ἀποθανούμεθα.“

46. Die versagte Audienz.

Ἧκόν ποτε κατὰ πρεσβείαν Λάκωνες πρὸς Λύγδαμιν τὸν Ναξίων τύραννον· ὡς δ' ἐκεῖνος πολλάκις συντυχεῖν ἀνεβάλλετο, τὸ δ' ἐπὶ πᾶσι[28] μαλακῶς ἔχειν αὐτὸν ἔφη τις, οἱ πρέσβεις „Λέγε αὐτῷ, εἶπον, ὅτι μὰ τοὺς θεοὺς οὐ παλαισόμενοι[29] πρὸς αὐτὸν ἐληλύθαμεν, ἀλλὰ διαλεχθησόμενοι.“

47. Schmeichelei im Gewande des Freimuthes.

Τιβερίου Καίσαρος εἰς τὴν σύγκλητόν ποτε παρελθόντος εἷς τῶν κολάκων ἀναστὰς ἔφη δεῖν ἐλευθέρους ὄντας παρρησιάζεσθαι

---

[24] wobei nur das Ertapptwerden als Schande galt. — [25] zur Bewachung. — [26] daß es besser gewesen wäre. — [27] nämlich wahre B. — [28] zu allem = endlich. — [29] sieh Anm. 19.

καὶ μηδὲν ὑποστέλλεσθαι μηδ' ἀποσιωπᾶν τῶν συμφερόντων. Ἀνατείνας δὲ πάντας οὕτω, γενομένης αὐτῷ σιωπῆς καὶ τοῦ Τιβερίου αὐτῷ προσέχοντος, „Ἄκουσον, ἔφη, Καῖσαρ, ἅ σοι πάντες ἐγκαλοῦμεν, οὐδεὶς δὲ τολμᾷ φανερῶς λέγειν· ἀμελεῖς σαυτοῦ, καὶ προΐεσαι τὸ σῶμα καὶ κατατρύχεις ἀεὶ φροντίσι καὶ πόνοις ὑπὲρ ἡμῶν οὔτε μεθ' ἡμέραν[30] οὔτε νυκτὸς ἀναπαυόμενος."

48. Grobheit durch Schmeichelei gut gemacht.

Ἆγις ὁ Ἀργεῖος, Ἀλεξάνδρου γελωτοποιῷ τινι μεγάλας δωρεὰς δόντος, ὑπὸ φθόνου καὶ λύπης ἐξέκραγεν· „Ὦ τῆς πολλῆς ἀτοπίας!" Ὀργισθέντος δὲ τοῦ βασιλέως, „Ὁμολογῶ, ἔφη, ἄχθεσθαι καὶ ἀγανακτεῖν, ὁρῶν ὑμᾶς τοὺς ἐκ Διὸς γεγονότας ἅπαντας ὁμοίως κόλαξι καὶ ἀνθρώποις καταγελάστοις χαίροντας· καὶ γὰρ Ἡρακλῆς Κέρκωψί[31] τισι, καὶ Σειληνοῖς ὁ Διόνυσος ἐτέρπετο, καὶ παρὰ σοὶ οἱ τοιοῦτοι εὐδοκιμοῦσιν."

49. Eine Ahnung.

Θηραμένης ὁ γενόμενος Ἀθήνησι τῶν τριάκοντα τυράννων[32], συμπεσούσης τῆς οἰκίας, ἐν ᾗ μετὰ πλειόνων ἐδείπνει, μόνος ἐσώθη· καὶ πρὸς πάντων εὐδαιμονιζόμενος, μεγάλῃ τῇ[33] φωνῇ, „Ὦ τύχη, εἶπεν, εἰς τίνα με καιρὸν ἄρα φυλάττεις;" Μετ' οὐ πολὺν δὲ χρόνον ὑπὸ τῶν συντυράννων ἀπέθανεν.

50. Des Esels Schatten.

Δημοσθένης ὁ ῥήτωρ, λέγειν ποτὲ κωλυόμενος ὑπὸ Ἀθηναίων ἐν ἐκκλησίᾳ, βραχὺ ἔφη βούλεσθαι πρὸς αὐτοὺς εἰπεῖν. Τῶν δὲ σιωπησάντων „Νεανίας, εἶπεν, ἐν θέρει ἐμισθώσατο ἐξ ἄστεος[34] ὄνον Μεγαράδε[35]. Μεσούσης δὲ τῆς ἡμέρας καὶ σφοδρῶς φλέγοντος τοῦ ἡλίου, ἑκάτερος αὐτῶν[36] ἐβούλετο ὑποδύεσθαι ὑπὸ τὴν σκιάν· εἶργον δὲ ἀλλήλους, ὁ μὲν μεμισθωκέναι τὸν ὄνον, οὐ τὴν σκιὰν λέγων, ὁ δὲ μεμισθωμένος[37] τὴν πᾶσαν ἔχειν ἐξουσίαν." Καὶ ταῦτα εἰπὼν ἀπῄει. Τῶν δὲ Ἀθηναίων ἐπισχόντων καὶ δεομένων πέρας ἐπιθεῖναι τῷ λόγῳ, „Εἶτα περὶ μὲν

---

[30] nach Tagesanbruch = bei Tage. — [31] Herkules nahm nämlich die Kerkopen zwar gefangen, entließ sie aber wieder, nachdem er seinen Scherz mit ihnen getrieben. — [32] einer von den 30 T. — [33] bleibt unübersetzt. — [34] = Athen. — [35] nach Megara. — [36] der Miether und der Treiber. — [37] mit da aufzulösen.

ὄνου σκιᾶς, ἔφη, βούλεσθε ἀκούειν, λέγοντος[38] δ' ἐμοῦ περὶ σπουδαίων πραγμάτων οὐ βούλεσθε;"

51. Der ungeschickte Arzt.

Ἰατρὸς ἦν ἄτεχνος. Οὗτος ἀρρώστῳ παρακολουθῶν, πάντων ἰατρῶν λεγόντων αὐτῷ οὐ κινδυνεύειν, μόνος ἔφη αὐτῷ πάντα τὰ αὑτοῦ ἑτοιμάσαι[39], τὴν γὰρ αὔριον[40] οὐχ ὑπερβήσεσθαι. Μετὰ χρόνον δέ τινα ἀναστὰς ὁ νοσῶν προῆλθεν ὠχρὸς ὢν καὶ μόλις βαδίζων. Ὁ δὲ ἰατρὸς ἐκεῖνος συναντήσας αὐτῷ „Χαῖρε, ἔφη· πῶς ἔχουσιν οἱ κάτω;" Κἀκεῖνος εἶπεν· „Ἠρεμοῦσι πιόντες τὸ τῆς Λήθης ὕδωρ. Νεωστὶ δὲ ὁ Θάνατος καὶ ὁ Ἅιδης δεινὸν ἠπείλουν τοῖς ἰατροῖς πᾶσιν, ὅτι τοὺς νοσοῦντας οὐκ ἐῶσιν ἀποθνήσκειν, καὶ κατέγραφον πάντας. Ἔμελλον δὲ καὶ σὲ γράψαι· ἀλλ' ἐγὼ προσπεσὼν αὐτοῖς ὤμοσα μὴ ἀληθῆ ἰατρὸν εἶναί σε, ἀλλὰ μάτην διαβληθῆναι."

52. Menekrates.

Μενεκράτης ὁ ἰατρὸς εἰς τοσοῦτον προῆλθε τύφου, ὥστε ἑαυτὸν ὀνομάζειν Δία. Εἱστία δέ ποτε μεγαλοπρεπῶς Φίλιππος ὁ Μακεδὼν καὶ δὴ καὶ τοῦτον ἐπὶ θοίνην ἐκάλεσε καὶ ἰδίᾳ κλίνην αὐτῷ ἐκέλευσε παρεσκευάσθαι καὶ κατακλιθέντι θυμιατήριον παρέθηκε καὶ ἐθυμιᾶτο αὐτῷ· οἱ δὲ λοιποὶ εἱστιῶντο καὶ ἦν μεγαλοπρεπὲς τὸ δεῖπνον. Ὁ τοίνυν Μενεκράτης τὰ μὲν πρῶτα[41] ἐνεκαρτέρει, καὶ ἔχαιρε τῇ τιμῇ· ἐπεὶ δὲ κατὰ μικρὸν[42] ὁ λιμὸς περιῆλθεν αὐτὸν καὶ ἠλέγχετο ὅτι ἦν[43] ἄνθρωπος, καὶ ταῦτα[44] εὐήθης, ἐξαναστὰς ἀπιὼν ᾤχετο.

53. Wie Theron sich der Herrschaft bemächtigte.

Σελινούντιοι Καρχηδονίοις παραταξάμενοι ἡττήθησαν. Πολλῶν δ' οὖν πεσόντων καὶ ἀτάφων κειμένων θάψαι τοὺς νεκροὺς οὐ θαρροῦντες, οὐ μὴν οὐδὲ ἀτάφους ὄντας περιορᾶν ὑπομένοντες ἐβουλεύοντο, τί χρὴ πράττειν. Θήρων δὲ ὑπέσχετο, εἰ λάβοι τριακοσίους οἰκέτας τοὺς[45] τεμεῖν τὴν ὕλην δυνησομένους[45], αὐτὸς προελθὼν τὰ σώματα καύσειν· εἰ δὲ οἱ πολέμιοι κρατήσειαν αὐτῶν, οὐδὲν μέγα κινδυνεύεσθαι τῇ πόλει, ἐὰν ἕνα πολίτην

---

[38] von ἀκούειν abhängig. — [39] er solle ... — [40] ergänze ἡμέραν. — [41] anfangs. — [42] allmählich. — [43] sei. — [44] und zwar. — [45] die im Stande seien.

ἀπολέσῃ καὶ τιμὴν ἀνδραπόδων τριακοσίων. Καὶ ἐπαινέσαντες οἱ Σελινούντιοι τὴν γνώμην αὐτῷ συνεχώρησαν, οὓς βούλοιτο οἰκέτας, αἱρεῖσθαι. Ὁ δὲ τοὺς εὐρώστους καὶ ἀκμάζοντας ἐπιλεξάμενος ἐξήγαγε, δρέπανα καὶ πελέκεις καὶ ἀξίνας ἔχοντας, ὡς[46] *τεμοῦντας τὴν ὕλην εἰς πυρκαϊὰν νεκρῶν τοσούτων. Ἐπεὶ δὲ ἐξῆλθον, πείσας αὐτοὺς Θήρων ἐπιθέσθαι τοῖς δεσπόταις, βαθείας ἑσπέρας*[47] *ἐπανῆλθεν εἰς τὴν πόλιν. Οἱ δὲ τῶν τειχῶν φύλακες γνωρίσαντες εἰσεδέξαντο. Θήρων δὲ τοὺς φύλακας φονεύσας καὶ τῶν πολιτῶν πολλοὺς καθεύδοντας ἀποκτείνας κατέλαβε τὴν πόλιν καὶ τύραννος ἐγένετο τῆς πόλεως.*

54. Wie Kresphontes Messenien erhielt.

Κρεσφόντης καὶ Τήμενος καὶ οἱ Ἀριστοδήμου παῖδες[48] *τὴν Πελοπόννησον ἐνέμοντο. Ἔδοξε οὖν τριχῇ νεῖμαι τὴν χώραν, Σπάρτην, Ἄργος, Μεσσήνην. Κρεσφόντης δὲ βουλόμενος τῆς Μεσσήνης ὡς ἀρίστης κρατῆσαι, ἔφη· „Λαχὼν ὁ πρῶτος καὶ ὁ δεύτερος ἑλέσθω Σπάρτην ἢ Ἄργος, Μεσσήνη δ' ἔστω τοῦ τρίτου.“ Ἐπείσθησαν καὶ τοὺς κλήρους καθεῖσαν ἐς κάλπιν ὕδωρ ἔχουσαν, οἱ μὲν ἐκ λίθου λευκῆς, Κρεσφόντης δὲ βώλου λευκῆς ὁμοίας λίθῳ. Ἡ μὲν δὴ βῶλος αὐτίκα ἐτάκη, οἱ δὲ τῆς λίθου*[49] *κλῆροι προελθόντες ἔδοσαν Ἄργος μὲν Τημένῳ, Σπάρτην δὲ τοῖς Ἀριστοδήμου παισί. Καὶ Κρεσφόντης Μέσσηνην τέχνῃ λαβὼν τύχῃ λαβεῖν ἔδοξεν.*

55. Eine List des Histiäus.

Ἱστιαῖος Μιλήσιος ἐν Πέρσαις διάγων παρὰ Δαρείῳ βασιλεῖ, βουλόμενος Ἰωνίαν ἀποστῆσαι, γράμματα πέμπειν οὐκ ἐθάῤῥει διὰ τοὺς φύλακας τῶν ὁδῶν. Οἰκέτην οὖν πιστὸν ἀποξύρας τὰς τρίχας στίγματα ἐνέγραψε τῇ κεφαλῇ, „Ἱστιαῖος Ἀρισταγόρᾳ· Ἰωνίαν ἀπόστησον“ καὶ τοῖς στίγμασιν ἐπέθρεψε τὰς τρίχας. Τοῦτον τὸν τρόπον λαθὼν τοὺς φύλακας ὁ οἰκέτης κατέβη ἐπὶ θάλατταν καὶ ἀποξυράμενος ἔδειξεν Ἀρισταγόρᾳ τὰ στίγματα· ὁ δὲ ἀναγνοὺς ἀπέστησε τὴν Ἰωνίαν.

56. Hochherzigkeit zweier Spartaner.

Βοῦρις καὶ Σπέρτις Λακεδαιμόνιοι πορευθέντες ἐθελονταὶ πρὸς Ξέρξην τὸν Περσῶν βασιλέα ἐπὶ τιμωρίᾳ[50]*, ἣν ὤφειλεν ἡ*

---

[46] da sie ja — sollten. — [47] wann? — [48] Prokles und Eurysthenes. — [49] von Stein. — [50] *ἐπὶ* ... um — zu erleiden.

Λακεδαίμων κατὰ χρησμόν, διότι κήρυκας πεμφθέντας ἀπὸ τοῦ Πέρσου ὡς αὐτοὺς ἀπέκτειναν, ἐλθόντες πρὸς τὸν Ξέρξην, ἐκέλευον, ᾧ βούλεται τρόπῳ, διαχρήσασθαι αὐτους ὑπὲρ Λακεδαιμονίων. Ὡς δὲ ἐκεῖνος ἀγασθεὶς ἀπέλυσε τοὺς ἄνδρας, καὶ ἠξίου μένειν παρ' αὐτῷ, „Καὶ πῶς ἄν, ἔφασαν, δυναίμεθα ζῆν ἐνταῦθα, πατρίδα καταλιπόντες καὶ νόμους, καὶ τούτους τοὺς ἄνδρας, ὑπὲρ ὧν τοσαύτην ἤλθομεν ὁδὸν ἀποθανούμενοι“ [51]; Ἰνδάρνου δὲ τοῦ στρατηγοῦ ἐπὶ πλέον [52] δεομένου καὶ λέγοντος τεύξεσθαι αὐτοὺς τῆς ἴσης τιμῆς τοῖς [53] ἐντιμοτάτοις φίλοις τοῦ βασιλέως, ἔφησαν· „Ἀγνοεῖν ἡμῖν δοκεῖς, ἡλίκον ἐστὶ τὸ [54] τῆς ἐλευθερίας, ἧς οὐκ ἂν ἀλλάξαιτό τις νοῦν ἔχων τὴν Περσῶν βασιλείαν.“

57. Der schlau berechnete Brief.

Ἰφικράτης, δισχιλίων μισθοφόρων πρὸς τοὺς Λάκωνας αὐτομολησάντων, ἀπόρρητα γράμματα ἔπεμψε πρὸς τοὺς ἡγεμόνας τῶν ἀποστάντων παρακαλῶν μεμνῆσθαι τοῦ συγκειμένου καιροῦ, καθ' ὃν καὶ τὴν ἐξ Ἀθηνῶν συμμαχίαν προσδέχοιτο, εἰδὼς τὴν ἐπιστολὴν ἐμπεσουμένην [55] τοῖς φύλαξι τῶν ὁδῶν. Ἐπεὶ δὲ οἱ φύλακες ἐκόμισαν τὰ γράμματα τοῖς Λακεδαιμονίοις, οἱ μὲν ὥρμησαν συλλαμβάνειν τοὺς αὐτομόλους· οἱ δὲ ἀγαπητῶς ἐξέφυγον Ἀθηναίοις μὲν ἄπιστοι γενόμενοι, Λακεδαιμονίοις δὲ δόξαντες [56].

58. Antiochos Hierax.

Ἀντίοχος Σελεύκου τοῦ ἀδελφοῦ ἀποστὰς ἔφυγεν ὑπὸ τῶν ἐκείνου στρατηγῶν Ἀχαιοῦ καὶ Ἀνδρομάχου διωκόμενος. Πολλὴ μὲν οὖν αὐτῶν ἐγένετο ἡ παράταξις, τέλος δὲ τρωθεὶς ὁ Ἀντίοχος ὑποφεύγει ἐς τὴν ὑπερκειμένην ὑπώρειαν, τῆς στρατιᾶς ἐν ὁμαλεῖ στρατοπεδευούσης. Ἐνταῦθα δὴ φήμην διέδωκεν ὡς Ἀντίοχος ἐν τῇ μάχῃ πεπτώκοι, τῆς δὲ στρατιᾶς οὐκ ὀλίγον μέρος νύκτωρ ἐκέλευσε καταλαβεῖν τὰς ὑπερωρείας. Μεθ' ἡμέραν οὖν πρέσβεις ἔπεμψαν οἱ Ἀντιόχου στρατιῶται Φιλέταιρον ἡγεμόνα Κρῆτα καὶ Διονύσιον Λυσιμαχέα, ὑπόσπονδον Ἀντιόχου τὸ σῶμα αἰτούμενοι καὶ σφᾶς αὐτοὺς καὶ τὰ ὅπλα παραδιδόντες [57].

---

[51] s. Anm. 19. — [52] bringender. — [53] wie die — Freunde. — [54] erste Abth. § 28. 2. — [55] erste Abth. § 50a. 1. — [56] nämlich ἄπιστοι. — [57] mit dem Anerbieten — zu übergeben.

Ἀνδρόμαχος δὲ οὐδέπω μὲν ἔφη τὸ Ἀντιόχου σῶμα εὑρῆσθαι, ζητεῖσθαι δέ· πέμψειν δὲ τοὺς[58] *παραληψομένους τά τε ὅπλα καὶ τοὺς στρατιώτας. Ἐπεὶ οὖν ἧκον ἄνδρες τετρακισχίλιοι οὐ πρὸς μάχην ἐσκευασμένοι, ἀλλὰ πρὸς παράληψιν αἰχμαλώτων ἐσταλμένοι, οἱ τὰς ὑπωρείας προκαταλαβόντες ἄνωθεν ἐπιχυθέντες πολὺν αὐτῶν φόνον ἐξειργάσαντο. Ἀντίοχος δὲ σχῆμα τὸ βασίλειον ἀναλαβὼν ἐπεφάνη δείξας ἑαυτὸν καὶ ζῶντα καὶ νικῶντα.*

59. Das Weib des Pythes.

Πύθης χρύσεια μέταλλα εὑρὼν πάντας τοὺς πολίτας ἐκέλευε μεταλλεύειν, ὀρύσσειν, χρυσίον καθαίρειν, ἄλλο μηδὲν ἐργαζομένους τὸ παράπαν μηδὲ πράττοντας. Ἀπολλυμένων δὲ πολλῶν, πάντων δ' ἀπαγορευόντων, αἱ γυναῖκες αὐτῶν ἱκέτευον τὴν τοῦ Πύθεω γυναῖκα Πυθόπολιν. Ἡ δὲ ἐκέλευσεν ἐκείνας μὲν ἀπιέναι καὶ θαρρεῖν· αὐτὴ δὲ τῶν περὶ τὸ χρυσίον τεχνιτῶν[59]*, οἷς ἐπίστευε μάλιστα, καλέσασα καὶ καθείρξασα ποιεῖν ἐκέλευσεν ἄρτους τε χρυσοῦς καὶ πέμματα παντοδαπὰ καὶ ὀπώρας καὶ ὅσοις δὴ μάλιστα τὸν Πύθην ἐγίγνωσκε ἡδόμενον ὄψοις καὶ βρώμασι*[60]*. Ποιηθέντων δὲ πάντων, ὁ μὲν Πύθης ἧκεν ἐξ ἀποδημίας, ἡ δὲ γυνὴ δεῖπνον αἰτοῦντι παρέθηκε χρυσῆν τράπεζαν οὐδὲν ἐδώδιμον ἔχουσαν, ἀλλὰ πάντα χρυσᾶ. Τὸ μὲν οὖν πρῶτον*[61] *ἔχαιρε Πύθης τοῖς μιμήμασιν, ἐμπλησθεὶς δὲ τῆς ὄψεως ᾔτει φαγεῖν· ἡ δὲ χρυσοῦν, ὅ,τι τύχοι*[62] *ποθήσας, προσέφερε. Δυσχεραίνοντος δ' αὐτοῦ καὶ πεινῆν βοῶντος, „Ἀλλὰ σύ γε τούτων, εἶπεν, ἄλλου δ' οὐδενός, εὐπορίαν πεποίηκας ἡμῖν· τὰ γὰρ σπειρόμενα καὶ φυτευόμενα καὶ τρέφοντα τῆς γῆς καταλιπόντες ὀρύσσομεν ἄχρηστον χρυσίον, οὗ οὐδὲν τοῖς ἀνθρώποις ὄφελος.“ Ἐκίνησε ταῦτα τὸν Πύθην, καὶ πᾶσαν μὲν οὐ κατέλυσε τὴν περὶ τὰ μέταλλα πραγματείαν, ἀνὰ μέρος*[63] *δὲ τὸ πέμπτον*[64] *ἐργάζεσθαι κελεύσας τῶν πολιτῶν, τοὺς λοιποὺς ἐπὶ γεωργίαν καὶ τὰς ἄλλας τέχνας ἀφῆκεν.*

60. Der ägyptische Musiker.

Φασὶν Αἰγυπτίων τινὶ τῶν σφόδρα ἀρχαίων μουσικῷ τὸ δαιμόνιόν ποτε προειπεῖν καθ' ὕπνον, ὡς εἰς ὄνου ὦτα ᾄσεται.

---

[58] Leute, die — sollten. — [59] ergänze *ἐκείνους*. — [60] für *ὄψα καὶ βρώματα, ὅσοις*. — [61] anfänglich nun. — [62] erste Abth. § 45a. 2. — [63] abwechselnd. — [64] ergänze *μέρος*.

Καὶ δὴ τὸν μὲν ἄλλον χρόνον οὐ προσεῖχεν οὐδὲ ἐφρόντιζε τοῦ ὀνείρατος[65] ὡς[66] οὐδενὸς ὄντος. Ἐπεὶ δὲ ὁ τύραννος τῶν Σύρων ἧκεν εἰς Μέμφιν, ἐπαινούντων αὐτὸν πάντων τῶν Αἰγυπτίων, ἐκάλεσεν. Ἐπεδείκνυτο οὖν πάσῃ προθυμίᾳ καὶ τἀκριβέστερα[67] τῆς τέχνης· ὁ δέ (οὐ γὰρ ἦν αὐτῷ σύνεσις μουσικῆς), ἐπεκέλευε παύσασθαι αὐτὸν ἀτιμάσας. Ὁ δὲ ἀναμνησθεὶς ἐκείνου τοῦ ὀνείρατος, „Τοῦτ' ἦν ἄρα, ἔφη, τὸ εἰς ὄνου ὦτα ᾄδειν!“ Ὁ δὲ τύραννος ἀκούσας τῶν ἑρμηνέων οἷα ἔλεγεν, δήσας ἐμαστίγωσε τὸν ἄνδρα.

61. Anspruchslosigkeit des Plato.

Πλάτων ὁ Ἀρίστωνος ἐν Ὀλυμπίᾳ συνεσκήνωσεν ἀγνῶσιν ἀνθρώποις καὶ αὐτὸς[68] ὢν αὐτοῖς ἀγνώς. Οὕτω δὲ αὐτοὺς ἐχειρώσατο καὶ ἀνεδήσατο τῇ συνουσίᾳ, συνεστιώμενός τε αὐτοῖς ἀφελῶς καὶ συνδιημερεύων ἐν πᾶσιν, ὥστε ὑπερησθῆναι τοὺς ξένους τῇ τοῦ ἀνδρὸς συντυχίᾳ. Οὔτε δὲ Ἀκαδημίας ἐμέμνητο οὔτε Σωκράτους· αὐτό[69] γε μὴν τοῦτο ἐνεφάνισεν αὐτοῖς, ὅτι καλεῖται Πλάτων. Ἐπεὶ δὲ ἦλθον εἰς τὰς Ἀθήνας, ὑπεδέξατο αὐτοὺς εὖ μάλα φιλοφρόνως. Καὶ οἱ ξένοι, „Ἄγε, εἶπον, ὦ Πλάτων, ἐπίδειξον ἡμῖν καὶ τὸν ὁμώνυμόν σου, τὸν Σωκράτους ὁμιλητήν, καὶ ἐπὶ τὴν Ἀκαδημίαν ἥγησαι τὴν ἐκείνου καὶ ἐπισύστησον τῷ ἀνδρί, ἵνα τι καὶ αὐτοῦ ἀπολαύσωμεν.“ Ὁ δὲ ἠρέμα ὑπομειδιάσας, ὥσπερ οὖν καὶ[70] εἰώθει, „Ἀλλ' ἐγώ, φησὶν, αὐτὸς ἐκεῖνός εἰμι.“ Οἱ δὲ ἐξεπλάγησαν, εἰ[71] τὸν ἄνδρα ἔχοντες μεθ' ἑαυτῶν τὸν[72] τοσοῦτον ἠγνόησαν, ἀτύφως συγγενόμενον αὐτοῖς καὶ δείξαντα, ὅτι δύναται καὶ ἄνευ τῶν συνήθων λόγων[73] χειροῦσθαι τοὺς συνόντας.

62. Kimon auf dem Durchzuge über Korinth.

Κίμωνι, ἐπεὶ βοηθήσας τοῖς Λακεδαιμονίοις[74] ἀπῄει διὰ Κορίνθου τὴν στρατιὰν ἄγων, ἐνεκάλει Λάχαρτος πρὶν διαπρά-

---

[65] Gramm. § 46. 2. — [66] in der Überzeugung, daß. — [67] das Höchste seiner Kunst. — [68] *καὶ αὐτος*, *καὶ οὗτος* dienen, um von einem neuen Gegenstande das nämliche Prädikat auszusagen, wie von einem frühern (negativ: *οὐδ' αὐτός*) = ebenfalls, auch. — [69] nur, bloß. — [70] bleibt unübersetzt. — [71] daß; nach mehreren Verben, die eine Gemüthsstimmung ausdrücken, steht häufig *εἰ* statt *ὅτι*. — [72] im Deutschen unbest. Artikel. — [73] Vorträge. — [74] Er hatte den Spartanern gegen die Messenier, welche die allgemeine Verwirrung in Folge eines Erdbebens zu einem Aufstande benützt hatten, Hilfe bringen sollen.

ξασθαι πρὸς τοὺς πολίτας εἰσαγαγόντι[75] τὸ στράτευμα· καὶ θύραν κόψαντας[76] ἀλλοτρίαν οὐκ εἰσιέναι πρότερον ἢ τὸν κύριον κελεῦσαι. Καὶ ὁ Κίμων· „Ἀλλ' οὐχ ὑμεῖς, εἶπεν, ὦ Λάχαρτε, τὰς Κλεωναίων καὶ Μεγαρέων πύλας κόψαντες, ἀλλὰ κατασχίσαντες εἰσεβιάσασθε μετὰ τῶν ὅπλων, ἀξιοῦντες ἀνεωγέναι[77] πάντα τοῖς μεῖζον δυναμένοις." Οὕτω ἐθρασύνετο πρὸς τὸν Κορίνθιον ἐν δέοντι καὶ μετὰ τῆς στρατιᾶς διεξῆλθεν.

63. Timon der Menschenfeind.

Τίμων Ἀθηναῖος δυσμενὴς ἦν καὶ μισάνθρωπος· ἐκκλίνων δὲ καὶ διωθούμενος ἅπασαν ἔντευξιν, Ἀλκιβιάδην νέον ὄντα καὶ θρασὺν ἠσπάζετο καὶ κατεφίλει προθύμως. Ἀπημάντου δὲ θαυμάσαντος καὶ πυθομένου τὴν αἰτίαν, φιλεῖν ἔφη τὸν νεανίσκον, εἰδώς, ὅτι πολλῶν Ἀθηναίοις κακῶν αἴτιος ἔσοιτο. Τὸν δὲ Ἀπήμαντον μόνον ὡς ὅμοιον αὐτῷ καὶ ζηλοῦντα τὴν δίαιταν ἔστιν ὅτε[78] προσίετο. Καί ποτε τῆς τῶν Χοῶν[79] οὔσης ἑορτῆς εἱστιῶντο καθ' αὑτοὺς οἱ δύο. Τοῦ δ' Ἀπημάντου φήσαντος, „Ὡς καλόν, ὦ Τίμων, τὸ συμπόσιον ἡμῶν!" „Εἴγε σύ, ἔφη μὴ παρῆσθα"[80]. Λέγεται δὲ Ἀθηναίων ἐκκλησιαζόντων ἀναβὰς ἐπὶ τὸ βῆμα ποιῆσαι σιωπὴν καὶ προσδοκίαν μεγάλην διὰ τὸ παράδοξον, εἶτα εἰπεῖν. „Ἐστί μοι μικρὸν οἰκόπεδον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ συκῆ τις ἐν αὐτῷ πέφυκεν, ἐξ[81] ἧς ἤδη συχνοὶ τῶν πολιτῶν ἀπήγξαντο. Μέλλων οὖν ἐνοικοδομεῖν ἐν τῷ τόπῳ, ἐβουλήθην δημοσίᾳ προειπεῖν, ἵνα, ἂν[82] ἄρα τινὲς ἐθέλωσιν[83] ὑμῶν, πρὶν ἐκκοπῆναι τὴν συκῆν, ἀπάγξωνται."

64. Sertorius zügelt den Ungestüm seines Heeres.

Σερτώριος[84] τῶν ἐντὸς Ἴβηρος αὐτῷ ποταμοῦ πάντων ὁμοῦ τι προστιθεμένων, πλήθει μὲν ἦν μέγας· ἐπέρρεον γὰρ ἀεὶ καὶ συνεφέροντο πανταχόθεν πρὸς αὐτόν· ἀταξίᾳ δὲ βαρβαρικῇ καὶ θρασύτητι ταραττόμενος, ἐπιχειρεῖν τοῖς πολεμίοις βοώντων καὶ τὴν τριβὴν δυσανασχετούντων, ἐπειρᾶτο παραμυθεῖσθαι διὰ λόγων. Ἐκκλησίαν οὖν ἀθροίσας ἵππους εἰσήγαγε δύο, τὸν μὲν ἀσθενῆ

---

[75] mit daß aufzulösen. — [76] mit wenn man aufzulösen. — [77] ἀνοίγνυμι. — [78] ἔστιν ὅτε bisweilen. — [79] der zweite Tag des Festes Ἀνθεστήρια, an dem man neuen Wein um die Wette trank. — [80] dabei wärest. — [81] an. — [82] = ἐάν. — [83] ergänze ἀπάγξασθαι. — [84] er sammelte in Spanien aus den Eingeborenen ein Heer gegen die sullanische Partei.

τελέως καὶ πρεσβύτερον ἤδη, τὸν δὲ ἕτερον εὐμεγέθη μὲν αὐτὸν καὶ ἰσχυρόν, θαυμαστὴν δὲ πυκνότητι καὶ κάλλει τριχῶν οὐρὰν ἔχοντα. Παρειστήκει δὲ τῷ μὲν ἀσθενεῖ μέγας ἀνὴρ καὶ ῥωμαλέος, τῷ δὲ ἰσχυρῷ μικρὸς ἕτερος καὶ τὴν ὄψιν[85] εὐκαταφρόνητος. Σημείου δὲ δοθέντος αὐτοῖς, ὁ μὲν ἰσχυρὸς ἀμφοτέραις ταῖς χερσὶ τοῦ ἵππου τὴν οὐρὰν ὡς ἀπορρήξων[86] εἷλκε βίᾳ πρὸς αὑτόν, ὁ δὲ ἀσθενὴς τοῦ ἰσχυροῦ κατὰ μίαν[87] τῶν τριχῶν ἐξέτιλλεν. Ἐπεὶ δὲ ὁ μὲν οὐκ ὀλίγα πράγματα μάτην ἑαυτῷ καὶ πολὺν γέλωτα τοῖς θεωμένοις παρασχὼν ἀπεῖπεν, ὁ δὲ ἀσθενὴς ἀκαρεὶ καὶ σὺν οὐδενὶ πόνῳ ψιλὴν τριχῶν ἀπέδειξε τὴν οὐράν, ἀναστὰς ὁ Σερτώριος, „Ὁρᾶτε, εἶπεν, ἄνδρες σύμμαχοι, τὴν ἐπιμονὴν ἀνυσιμωτέραν τῆς βίας οὖσαν καὶ πολλὰ τῶν ἀθρόως ἀλήπτων ἐνδιδόντα[88] τῷ κατὰ μικρόν[89]. Ἄμαχον γὰρ τὸ ἐνδελεχές, ᾧ[90] πᾶσαν[91] ἐπιὼν ὁ χρόνος αἱρεῖ καὶ κατεργάζεται δύναμιν, εὐμενὴς ὢν σύμμαχος τοῖς δεχομένοις λογισμῷ τὸν καιρὸν αὐτοῦ, τοῖς δὲ ἀκαίρως ἐπειγομένοις πολεμιώτατος.“

65. Porcia.

Βροῦτος ἅτε[92] δὴ τὰ πρῶτα τῆς Ῥώμης φρονήματα καὶ γένη καὶ ἀρετὰς ἐξηρτημένος[93] ἑαυτοῦ καὶ περινοῶν πάντα τὸν κίνδυνον, ἔξω μὲν ἐπειρᾶτο κατέχειν παρ' ἑαυτῷ καὶ κατακοσμεῖν τὴν διάνοιαν, οἴκοι δὲ καὶ νύκτωρ οὐκ ἦν ὁ αὐτός, ἀλλὰ τὰ μὲν[94] ἄκοντα τῶν ὕπνων αὐτὸν ἡ φροντὶς ἐξέφερε, τὰ δὲ μᾶλλον ἐνδυόμενος τῷ λογισμῷ καὶ διατρίβων ἐν ταῖς ἀπορίαις οὐκ ἐλάνθανε Πορκίαν τὴν γυναῖκα, ὅτι μεστός ἐστι ταραχῆς ἀήθους καὶ κυκλεῖ τι παρ' ἑαυτῷ δύσφορον βούλευμα. Φιλόστοργος δ' ἡ Πορκία καὶ φίλανδρος οὖσα καὶ μεστὴ φρονήματος νοῦν ἔχοντος[95] οὐ πρότερον ἐπεχείρησεν ἀνερέσθαι τὸν ἄνδρα περὶ τῶν ἀπορρήτων πρὶν λαβεῖν ἑαυτῆς τοιαύτην διάπειραν. Λαβοῦσα μαχαίριον καὶ πάσας ἐξελάσασα τοῦ θαλάμου τὰς ὀπαδούς, τομὴν ἐνέβαλε τῷ μηρῷ βαθεῖαν, ὥστε ῥύσιν αἵματος πολλὴν γενέσθαι

---

[85] Akk. der Beziehung: wornach? — [86] Finalsatz. — [87] einzeln. — [88] daß viele von den Dingen zu Stande kommen. — [89] indem man schrittweise zu Werke geht. — [90] womit? — [91] zu *δύναμιν*. — [92] *ατε* beim Particip: da ja, da nämlich. — [93] Medium; es ist von der bereits weit gediehenen Verschwörung gegen Cäsar die Rede. — [94] theils, bald. — [95] gepaart mit Verstand.

καὶ μετὰ μικρὸν ὀδύνας τε νεανικὰς καὶ φρικώδεις πυρετοὺς ἐπιλαβεῖν ἐκ τοῦ τραύματος. Ἀγωνιῶντος δὲ τοῦ Βρούτου καὶ δυσφοροῦντος, ἐν ἀκμῇ τῆς ἀλγηδόνος οὖσα διελέχθη πρὸς αὐτὸν οὕτως. „Ἐγώ, Βροῦτε, Κάτωνος οὖσα θυγάτηρ εἰς τὸν σὸν ἐδόθην οἶκον κοινωνὸς μὲν ἀγαθῶν εἶναι[96]*, κοινωνὸς δὲ ἀνιαρῶν. Τὰ μὲν οὖν σὰ*[97] *πάντα περὶ τὸν γάμον ἄμεμπτα· τῶν δὲ παρ' ἐμοῦ τίς ἀπόδειξις ἢ χάρις, εἰ μήτε σοι πάθος ἀπόρρητον συνδιοίσω μήτε φροντίδα πίστεως δεομένην; Οἶδ' ὅτι γυναικεία φύσις ἀσθενὴς δοκεῖ λόγον ἐνεγκεῖν*[98] *ἀπόρρητον· ἀλλ' ἔστι τις, ὦ Βροῦτε, καὶ τροφῆς ἀγαθῆς καὶ ὁμιλίας χρήστης εἰς ἦθος ἰσχύς· ἐμοὶ δὲ καὶ τὸ*[99] *Κάτωνος εἶναι θυγατέρα καὶ τὸ Βρούτου γυναῖκα πρόσεστιν· οἷς πρότερον μὲν ἧττον ἐπεποίθειν, νῦν δ' ἐμαυτὴν ἔγνωκα καὶ πρὸς πόνον ἀήττητον οὖσαν"*[100]*. Ταῦτ' εἰποῦσα δείκνυσιν αὐτῷ τὸ τραῦμα καὶ διηγεῖται τὴν πεῖραν. Ὁ δὲ ἐκπλαγεὶς καὶ ἀνατείνας τὰς χεῖρας ἐπεύξατο δοῦναι τοὺς θεοὺς αὐτῷ κατορθοῦντι τὴν πρᾶξιν ἀνδρὶ*[101] *Πορκίας ἀξίῳ φανῆναι.*

66. Aufopferung des Lucilius.

Ἦν τις Λουκίλλιος, ἀνὴρ ἀγαθός, ἐν τοῖς Βρούτου ἑταίροις. Οὗτος μετὰ τὴν ἐν Φιλίπποις μάχην ὁρῶν βαρβάρους τινὰς ἱππέας ἐν τῇ διώξει τῶν μὲν ἄλλων οὐδένα ποιουμένους λόγον, ἐλαύνοντας δὲ ῥύδην ἐπὶ τὸν Βροῦτον, ἔγνω[102] *παρακινδυνεύσας ἐμποδὼν αὐτοῖς γενέσθαι. Καὶ μικρὸν ὑπολειφθεὶς αὐτὸς ἔφη Βροῦτος εἶναι· καὶ πιθανὸς ἦν πρὸς Ἀντώνιον δεόμενος*[103] *ἄγειν ἑαυτόν, ὡς*[104] *Καίσαρα δεδοικώς, ἐκείνῳ δὲ θαρρῶν. Οἱ δὲ ἀσπασάμενοι τὸ εὕρημα καὶ τύχῃ τινὶ θαυμαστῇ κεχρῆσθαι νομίζοντες ἦγον τὸν ἄνδρα προπέμψαντες ἐξ αὐτῶν τινας ἀγγέλους παρὰ τὸν Ἀντώνιον. Αὐτός τε οὖν ἡσθεὶς ἀπήντα τοῖς ἄγουσι, καὶ τῶν ἄλλων οἱ πυνθανόμενοι ζῶντα Βροῦτον κομίζεσθαι συνέρρεον, οἱ μὲν ἐλεεινὸν ἡγούμενοι τῆς τύχης, οἱ δὲ τῆς δόξης ἀνάξιον, ἄγραν βαρβάρων ὑπὸ φιλοψυχίας γενόμενον. Ἐπεὶ δὲ ἐγγὺς ἦσαν, ὁ μὲν Ἀντώνιος ὑπέστη διαπορῶν, ὅπως χρὴ δέξα-*

---

[96] um zu sein. — [97] dein Betragen. — [98] von *ἀσθενής* abhängig. — [99] *τὸ — εἶναι* der Vortheil, daß ich — bin. — [100] s. erste Abth. § 50a. 1. — [101] Prädikat zu *αὐτῷ*. — [102] beschloß. — [403] mit da, weil aufzulösen. — [104] als ob; *Καῖσαρ* = Octavian.

σθαι τὸν Βροῦτον, ὁ δὲ Λουκίλλιος προσαχθεὶς μάλα τεθαρρηκώς[105]· „Μάρκον μέν, εἶπεν, Ἀντώνιε, Βροῦτον οὐδεὶς ᾕρηκεν οὐδ' ἂν ἕλοι πολέμιος· μὴ τοσοῦτον ἡ τύχη κρατήσειε[106] τῆς ἀρετῆς. Ἀλλ' ἐκεῖνος εὑρεθήσεται ζῶν ἤ που καὶ νεκρὸς ἀξίως κείμενος ἑαυτοῦ. Ἐγὼ δὲ τοὺς σοὺς στρατιώτας παρακρουσάμενος ἥκω, παθεῖν οὐδὲν ἐπὶ τούτῳ τῶν ἀνηκέστων παραιτούμενος." Ταῦτ' εἰπόντος τοῦ Λουκιλλίου καὶ πάντων ἐκπλαγέντων Ἀντώνιος πρὸς τοὺς κομίσαντας αὐτὸν ἀποβλέψας. „Ἦπου χαλεπῶς, εἶπεν, ὦ συστρατιῶται, φέρετε τῇ ἁμαρτίᾳ, περιυβρίσθαι δοκοῦντες. Ἀλλ' εὖ ἴστε κρείττονα τῆς ζητουμένης ἄγρας ᾑρηκότες. Πολέμιον γὰρ ζητοῦντες ἥκετε φίλον ἡμῖν κομίζοντες· ὡς ἐγὼ Βρούτῳ μὲν οὐκ οἶδα μὰ τοὺς θεούς, ὅ,τι ἂν ἐχρησάμην[107] ζῶντι, τοιούτων δ' ἀνδρῶν φίλων τυγχάνοιμι[106] μᾶλλον ἢ πολεμίων." Ταῦτ' εἰπὼν καὶ τὸν Λουκίλλιον ἀσπασάμενος τότε μὲν ἑνὶ τῶν φίλων συνέστησεν, ὕστερον δὲ χρώμενος εἰς πάντα πιστῷ[108] καὶ βεβαίῳ διετέλεσεν.

67. Standhaftigkeit des jungen Cato.

Ἔτι παιδὸς τοῦ Κάτωνος[109] ὄντος ἔπραττον οἱ σύμμαχοι τῶν Ῥωμαίων, ὅπως μεθέξουσι τῆς ἐν Ῥώμῃ πολιτείας. Καί τις Πομπαίδιος Σίλλων[110], ἀνὴρ πολεμικὸς καὶ μέγιστον ἔχων ἀξίωμα, τοῦ δὲ Δρούσου[111] φίλος, κατέλυσε παρ' αὐτῷ πλείονας ἡμέρας, ἐν αἷς γεγονὼς τοῖς παιδίοις συνήθης „Ἄγε, εἶπεν, ὅπως[112] ὑπὲρ ἡμῶν δεήσεσθε τοῦ θείου συναγωνίσασθαι περὶ τῆς πολιτείας." Ὁ μὲν οὖν Καπίων[113] διαμειδιάσας ἐπένευσε, τοῦ δὲ Κάτωνος οὐδὲν ἀποκριναμένου καὶ βλέποντος εἰς τοὺς ξένους ἀτενές, ὁ Πομπαίδιος, „Σὺ δέ, εἶπεν, ἡμῖν, ὦ νεανία, τί λέγεις; Οὐχ οἷός τ' εἶ τοῖς ξένοις συλλαμβάνεσθαι πρὸς τὸν θεῖον, ὥσπερ ὁ ἀδελφός;" Οὐ φθεγγομένου δὲ τοῦ Κάτωνος, ἀλλὰ τῇ σιωπῇ καὶ τῷ προσώπῳ δοκοῦντος ἀνανεύειν, ἀράμενος αὐτὸν ὁ Πομ-

---

[105] s. erste Abth. § 32. 2. — [106] § 27a. 1. — [107] hätte anfangen sollen — [108] Prädikat zu einem zu ergänzenden, von χρώμενος abhängigen αὐτῷ. — [109] Cato Uticensis. — [110] ein Anführer der Bundesgenossen. — [111] M. Livius Drusus wollte als Volkstribun den Bundesgenossen das Bürgerrecht verschaffen; er war der Bruder von Cato's Mutter. — [112] ὅπως mit Futur ohne Anschluß an einen Satz drückt eine dringende Aufforderung aus. — [113] Cäpio, Bruder des Cato.

παίδιος ὑπὲρ[114] θυρίδος ὡς[115] ἀφήσων, ὁμολογεῖν ἐκέλευεν ἢ ῥίψειν ἔφασκεν, ἅμα τῇ τε φωνῇ τραχυτέρᾳ χρώμενος καὶ ταῖς χερσὶν ἀπηρτημένον τὸ σῶμα πολλάκις κραδαίνων. Ἐπεὶ δὲ πολὺν χρόνον οὕτω διεκαρτέρησεν ὁ Κάτων ἀνέκπληκτος καὶ ἀδεής, καθέμενος αὐτὸν Πομπαίδιος ἡσυχῇ πρὸς τοὺς φίλους εἶπεν· „Οἷον[116] εὐτύχημα τῆς Ἰταλίας, ὅτι παῖς[117] οὗτός ἐστιν· εἰ δὲ ἀνὴρ ἦν, μίαν οὐκ ἂν οἶμαι ψῆφον ἡμῖν ἐν τῷ δήμῳ γίγνεσθαι“[118].

68. Grausamer Scherz des Kaisers Domitian.

Δομιτιανὸς τοὺς πρώτους τῆς γερουσίας καὶ τῶν ἱππέων ἐδείπνισέν ποτε τόνδε τὸν τρόπον. Οἶκον μελάντατον[119] ἁπανταχόθεν ἔκ[120] τε τῆς ὀροφῆς καὶ ἐκ τῶν τοίχων τοῦ τ' ἐδάφους παρασκευάσας[119] καὶ κλισίας ἐπ' αὐτοῦ τοῦ δαπέδου γυμνὰς[121] ὁμοίας ἑτοιμάσας εἰςεκάλεσεν αὐτοὺς μόνους νυκτὸς ἄνευ τῶν ἀκολούθων. Καὶ πρῶτον μὲν στήλην ταφοειδῆ ἑκάστῳ αὐτῶν παρέστησε, τό τε ὄνομα αὐτοῦ[122] ἔχουσαν καὶ λυχνοῦχον μικρόν, οἷος ἐν τοῖς μνημείοις κρεμάννυται. Ἔπειτα παῖδες εὐπρεπεῖς, μέλανι καὶ αὐτοὶ[123] κεχρισμένοι, εἰσῆλθον ὥσπερ εἴδωλα, καὶ περιελθόντες αὐτοὺς μετ' ὀρχήσεώς τινος φοβερᾶς πρὸ ποδῶν ἱδρύθησαν. Καὶ μετὰ ταῦτα πάνθ' ὅσαπερ ἐν τοῖς ἐναγίσμασι καθαγίζεται, καὶ ἐκείνοις μέλανα[124] ἐν σκεύεσιν ὁμοίοις προσηνέχθη, ὥστε καὶ φοβεῖσθαι καὶ τρέμειν πάντας, ἀεὶ ὅσον οὐκ ἤδη[125] σφαγήσεσθαι προσδεχομένους, ἄλλως τε καὶ ὅτι παρά τε τῶν ἄλλων σιωπὴ πολλὴ ὥσπερ ἐν τεθνηκόσιν ἤδη ἦν, καὶ αὐτὸς ὁ Δομιτιανὸς πάντα εἴς τε θανάτους καὶ εἰς σφαγὰς φέροντα διελάλει. Τέλος δὲ ἀφῆκε μὲν αὐτούς, προαπαλλάξας δὲ δὴ τοὺς οἰκέτας αὐτῶν τοὺς ἐν τοῖς προθύροις ἑστηκότας, δι' ἑτέρων τινῶν ἀγνώστων τοὺς μὲν ὀχήμασι, τοὺς δὲ φορείοις παραδοὺς πολὺ πλέον δέος αὐτοῖς ἐνέβαλεν. Ἅμα[126] δὲ ἕκαστος αὐτῶν οἴκαδε εἰσῆλθε καὶ τρόπον τινὰ ἀναπνεῖν ἤρχετο, καὶ[126] αὐτῷ εἰσηγγέλθη, ὅτι παρὰ τοῦ Αὐγούστου[127] τις ἥκοι· προσδοκώντων

---

[114] zum — hinaus. — [115] als wolle er ... — [116] In Ausfätzen gebraucht der Grieche die Relativa. — [117] nur erst ein Kind. — [118] ἂν γίγεσθαι Conditionalis im Infinitiv. — [119] nachdem er — hatte ganz schwarz ausschlagen lassen. — [120] an. — [121] ohne Polster. — [122] des Betreffenden. — [123] s. Anm. 68. — [124] zu πάντα. — [125] ὅσον οὐκ ἤδη im nächsten Augenblicke. — [126] ἅμα — καί kaum — als. — [127] Domitian.

δὲ ἐκ τούτου τότε δὴ πάντως ἀπολεῖσθαι, εἰσεκόμισέ τις τὴν στήλην ἀργυρᾶν οὖσαν, εἶτ' ἄλλος ἄλλο τι καὶ ἕτερος ἕτερον τῶν σκευῶν τῶν ἐν τῷ δείπνῳ παρατεθέντων. Καὶ οὕτω διὰ πάσης τῆς νυκτὸς φοβούμενοι τὰ δῶρα ἔλαβον.

69. Zwei Beispiele von Hannibals Klugheit.

Ἡττηθέντων Καρχηδονίων ναυμαχίᾳ ὑπὸ Ῥωμαίων ὀλίγου[128] καὶ τὸν Ἀννίβαν ἀπέκτειναν·[128] πᾶσι γὰρ τοῖς στρατεύματά ποι πέμπουσι πρόσεστι φύσει[129] τῶν μὲν πλεονεξιῶν προσποιεῖσθαι, τὰς δὲ ἐλαττώσεις ἐπὶ τοὺς στρατηγήσαντας ἀναφέρειν· καὶ οἱ Καρχηδόνιοι προχειρότατα τοὺς πταίσαντάς τι ἐκόλαζον. Ὁ οὖν Ἀννίβας φοβηθεὶς εὐθὺς μετὰ τὴν ἧτταν ἐπηρώτα αὐτούς, ὡς[130] καὶ ἀκεραίων ἔτι τῶν πραγμάτων ὄντων, πότερον ναυμαχῆσαι αὐτὸν κελεύουσιν ἢ μή. Συνεπαινεσάντων δ' αὐτῶν, ὥσπερ που καὶ προσεδόκα, καὶ τῷ[131] τοσοῦτον τῷ ναυτικῷ προέχειν[131] ἐπαιρομένων ὑπεῖπε διὰ τῶν αὐτῶν ἀγγέλων, ὅτι[132] „Οὐδὲν ἄρα ἠδίκησα, ὅτι τὰ αὐτὰ ὑμῖν[133] ἐλπίσας συνέβαλον· τῆς γὰρ γνώμης, ἀλλ' οὐ τῆς τύχης ἦν κύριος."

Ὁ αὐτὸς πρὸ μάχης τινὸς συγκαλέσας τοὺς στρατιώτας, παρήγαγε τοὺς αἰχμαλώτους, οὓς κατὰ τὴν ὁδὸν εἰλήφει, καὶ ἐπύθετο αὐτῶν, πότερα δεδέσθαι τε ἐν πέδαις καὶ δουλεύειν κακῶς ἐθέλοιεν ἢ μονομαχῆσαι, ὥστε[134] ἀφεθῆναι προῖκα τοὺς νικήσαντας. Ἐπειδὴ δὲ τοῦθ' εἵλοντο, συνέβαλεν αὐτούς, καὶ μαχεσαμένων αὐτῶν εἶπεν· „Εἶτ' οὐκ αἰσχρόν, ὦ ἄνδρες στρατιῶται, τούτους μὲν τοὺς ὑφ' ἡμῶν ἑαλωκότας οὕτω πρὸς τὴν ἀνδρείαν ἔχειν, ὥστε καὶ ἀποθανεῖν ἀντὶ τοῦ δουλεῦσαι ἐπιθυμῆσαι, ἡμᾶς δ' ὀκνῆσαι πόνον τινὰ καὶ κίνδυνον ὑποστῆναι ὑπὲρ τοῦ[135] μὴ ὑπακούειν ἑτέροις καὶ προσέτι καὶ ἄρχειν ἄλλων;"

70. Merkwürdige Fügung.

Ἱκέτης τὴν ἀκρόπολιν τῶν Συρακουσῶν πολιορκῶν, Τιμολέοντι δύο ξένους παρασκευάσας φονεύσοντας[136] αὐτὸν ὑπέπεμψεν

[128] hätten sie fast getödtet. — [129] haftet von Natur die Schwäche an. — [130] gleich als ob. — [131] dadurch, daß. — [132] s. Anm. 2. — [133] wie ihr. — [134] auf die Bedingung hin, daß. — [135] dafür, daß. — [136] die — sollten; Hiketes, der früher von den Syrakusanern gegen Dionysius den Jüngern gerufen worden war, hatte von Timoleon eine Niederlage bei Adranon erlitten, worauf Dionysius dem Letztern die Burg übergab.

εἰς Ἀδρανόν, οὔτε ἄλλως περὶ τὰ σῶμα συντεταγμένην ἔχοντι φυλακήν, καὶ τότε ἀνειμένως καὶ ἀνυπόπτως χρωμένῳ τοῖς Ἀδρανίταις. Οἱ δὲ πεμφθέντες κατὰ τύχην[137] πυθόμενοι μέλλοντα[138] θύειν αὐτόν, ἧκον εἰς τὸ ἱερὸν ὑπὸ τοῖς ἱματίοις ἐγχειρίδια κομίζοντες, καὶ τοῖς περιεστῶσι τὸν βωμὸν ἀναμιχθέντες ἐγγυτέρω[139] κατὰ μικρὸν[140] ἐπεχείρουν. Καὶ ὅσον οὔπω[141] παρακελευομένων ἀλλήλοις ἄρχεσθαι, παίει τις αὐτῶν[142] τὸν ἕτερον κατὰ τῆς κεφαλῆς ξίφει, καὶ πεσόντος οὔθ' ὁ παίσας ἔμεινεν οὔθ' ὁ μετὰ τοῦ πληγέντος ἥκων, ἀλλ' ἐκεῖνος ὥσπερ εἶχε τὸ ξίφος, φεύγων πρός τινα πέτραν ὑψηλὴν ἀνεπήδησεν, ἅτερος[143] δὲ τοῦ βωμοῦ λαβόμενος ἄδειαν ᾐτεῖτο παρὰ τοῦ Τιμολέοντος ἐπὶ τῷ[144] πάντα μηνῦσαι. Καὶ λαβὼν[145] ἐμήνυσε καθ' ἑαυτοῦ καὶ κατὰ τοῦ τεθνηκότος, ὡς πεμφθεῖεν ἐκεῖνον ἀποκτενοῦντες[146]. Ἐν τούτῳ δὲ καὶ τὸν ἀπὸ[147] τῆς πέτρας κατῆγον ἕτεροι βοῶντα μηδὲν ἀδικεῖν, ἀλλ' ἀνῃρηκέναι δικαίως τὸν ἄνθρωπον ὑπὲρ πατρὸς τεθνηκότος, ὃν ἐκεῖνος ἀπεκτονὼς εἴη πρότερον ἐν Λεοντίνοις. Καὶ μαρτυροῦντας εἶχεν ἐνίους τῶν παρόντων, θαυμάζοντας ἅμα τῆς τύχης τὴν εὐμηχανίαν, ὡς δι' ἑτέρων ἕτερα κινεῖ καὶ συνάγουσα πάντα πόρρωθεν συγκαταπλέκει τοῖς[148] πλεῖστον διαφέρειν δοκοῦσι καὶ οὐδὲν ἔχειν πρὸς ἄλληλα κοινὸν[149]. Τὸν μὲν οὖν ἄνθρωπον ἐδωρήσαντο οἱ Κορίνθιοι δέκα μναῖς, ὅτι τὸν ἐκ πολλοῦ παρόντα θυμὸν αὐτῷ πρὸς τὴν ἐκείνου σωτηρίαν ἀπὸ τύχης[150] διετήρησεν· ἡ δ' εἰς τὸν παρόντα καιρὸν εὐτυχία καὶ πρὸς τὰ μέλλοντα ταῖς ἐλπίσιν ἐπῆρεν ὡς ἱερὸν ἄνδρα καὶ σὺν θεῷ τίμωρον ἥκοντα τῇ Σικελίᾳ τὸν Τιμολέοντα σέβεσθαι καὶ φυλάττειν.

III. Heroen-Sagen.

1. Pelops.

Οἰνομάῳ τῷ Πίσης βασιλεῖ θυγάτηρ ἐγένετο Ἱπποδάμεια. Χρηστηριαζομένῳ δὲ αὐτῷ περὶ τῆς τελευτῆς ἔχρησεν ὁ θεὸς τότε

---

[137] zufällig. — [138] s. erste Abth. § 50a. 1. — [139] Gramm. § 205. — [140] allmählich. — [141] im nächsten Augenblicke. — [142] von τὸν ἕτερον abhängig. — [143] Gramm. § 8. 1 Anm. — [144] unter der Bedingung daß, dafür daß. — [145] ergänze ἄδειαν. — [146] s. Anm. 19. — [147] auf. — [148] mit Ereignissen, die. — [149] Zusammenhang. — [150] durch glückliche Fügung.

τελευτήσειν αὐτόν, ὅταν ἡ θυγάτηρ συνοικήσῃ. Εὐλαβούμενος οὖν περὶ τοῦ γάμου τῆς θυγατρός, πολλῶν μνηστευόντων τὴν κόρην ἆθλον προετίθει τοῖς βουλομένοις αὐτὴν γῆμαι τοιοῦτον· ἔδει[1] τὸν μὲν ἡττηθέντα τελευτῆσαι, τὸν δὲ ἐπιτυχόντα γαμεῖν τὴν κόρην. Ὑπεστήσατο δὲ ἱπποδρομίαν ἀπὸ τῆς Πίσης μέχρι τοῦ κατὰ Κόρινθον Ἰσθμοῦ πρὸς τὸν βωμὸν Ποσειδῶνος. Τὴν δ' ἄφεσιν[2] τῶν ἵππων ἐποίησε τοιαύτην· ὁ μὲν Οἰνόμαος ἔθυε κριὸν τῷ Διί, ὁ δὲ μνηστεύων ἐξώρμα τέθριππον ἐλαύνων ἅρμα· τελεσθέντων[3] δὲ τῶν ἱερῶν τότε ἄρχεσθαι[4] τοῦ δρόμου τὸν Οἰνόμαον καὶ διώκειν τὸν μνηστῆρα, ἔχοντα δόρυ καὶ ἡνίοχον τὸν Μυρτίλον· εἰ δ' ἐφίκοιτο τοῦ διωκομένου ἅρματος, τύπτειν[4] τῷ δόρατι καὶ διαφθείρειν τὸν μνηστῆρα. Τούτῳ δὲ τῷ τρόπῳ τοὺς ἀεὶ[5] μνηστεύοντας καταλαμβάνων διὰ τὴν ὀξύτητα τῶν ἵππων πολλοὺς ἀνῄρει. Πέλοψ δὲ ὁ Ταντάλου ἥκων εἰς Πῖσαν καὶ θεασάμενος τὴν Ἱπποδάμειαν ἐπεθύμησε τοῦ γάμου· διαφθείρας δὲ τὸν ἡνίοχον τοῦ Οἰνομάου Μυρτίλον καὶ λαβὼν συνεργὸν πρὸς τὴν νίκην, ἔφθασε παραγενόμενος[6] ἐπὶ τὸν Ἰσθμὸν πρὸς τὸν τοῦ Ποσειδῶνος βωμόν· ὁ δὲ Οἰνόμαος τὸ λόγιον τετελέσθαι νομίζων καὶ διὰ τὴν λύπην ἀθυμήσας ἀπέκτεινεν ἑαυτόν. Τούτῳ δὲ τῷ τρόπῳ Πέλοψ γήμας τὴν Ἱπποδάμειαν παρέλαβε τὴν ἐν Πίσῃ βασιλείαν, καὶ διὰ τὴν ἀνδρείαν καὶ σύνεσιν ἀεὶ μᾶλλον αὐξόμενος τοὺς πλείστους τῶν τὴν Πελοπόννησον κατοικούντων προσηγάγετο καὶ τὴν χώραν ἀφ' ἑαυτοῦ Πελοπόννησον ὠνόμασεν.

2. Phrixos und Helle.

Ἀθάμᾳ τῷ Βοιωτίας βασιλεῖ, ἐκ[7] Νεφέλης παῖδες ἦσαν δύο, Φρίξος καὶ Ἕλλη· αὖθις δὲ Ἰνὼ γαμεῖ, ἐξ ἧς αὐτῷ Λέαρχος καὶ Μελικέρτης ἐγένοντο. Ἐπιβουλεύουσα δὲ Ἰνὼ τοῖς Νεφέλης τέκνοις ἔπεισε τὰς γυναῖκας[8] τοὺς πυροὺς φρύγειν. Λαμβάνουσαι δὲ κρύφα τῶν ἀνδρῶν τοῦτο ἔπρασσον· γῆ δὲ πεφρυγμένους πυροὺς δεχομένη καρποὺς ἐτησίους οὐκ ἀνεδίδου. Διὸ πέμπων ὁ Ἀθάμας εἰς Δελφοὺς ἀπαλλαγὴν ἐπυνθάνετο τῆς ἀφορίας· Ἰνὼ δὲ τοὺς πεμφθέντας ἔπεισε λέγειν, ὡς εἴη κεχρησμένον παύσεσθαι τὴν

III. [1] es sollte. — [2] die Zeit für das Abfahren. — [3] mit erst wenn aufzulösen. — [4] solle beginnen ꝛc. — [5] die jedesmaligen. — [6] langte früher an. — [7] von. — [8] die Orchomenierinnen.

ἀκαρπίαν, ἐὰν σφαγῇ Διὶ ὁ Φρίξος. Τοῦτο ἀκούσας Ἀθάμας συναναγκαζόμενος ὑπὸ τῶν τὴν γῆν κατοικούντων τῷ βωμῷ παρέστησε Φρίξον. Νεφέλη δὲ μετὰ τῆς θυγατρὸς αὐτὸν ἀνήρπασε, καὶ παρὰ Ἑρμοῦ λαβοῦσα χρυσόμαλλον κριὸν ἔδωκεν[9], *ἐφ' οὗ φερόμενοι δι' οὐρανοῦ γῆν ὑπερέβησαν καὶ θάλατταν. Ὡς δὲ ἐγένοντο κατὰ τὴν μεταξὺ κειμένην Σιγείου*[10] *καὶ Χερρονήσου, ὤλισθεν εἰς τὸν βυθὸν ἡ Ἕλλη, κἀκεῖ ἀποθανούσης αὐτῆς ἀπ' ἐκείνης Ἑλλήσποντος ἐκλήθη τὸ πέλαγος. Ὁ δὲ Φρίξος εἰς τὸν Πόντον πορευθεὶς κατήχθη μὲν πρὸς τὴν Κολχίδα, κατὰ δέ τι λόγιον θύσας τὸν κριὸν ἀνέθηκε τὸ δέρμα εἰς τὸ τοῦ Ἄρεος ἱερόν· Αἰήτης δὲ ὁ τῶν Κόλχων βασιλεὺς τῷ Φρίξῳ μίαν τῶν θυγατέρων Χαλκιόπην ἔδωκε. Μετὰ δὲ ταῦτα χρησμὸς ἐγένετο τῷ Αἰήτῃ, ὅτι τότε καταστρέψει τὸν βίον, ὅταν ξένοι καταπλεύσαντες τὸ χρυσόμαλλον δέρας*[11] *ἀπενέγκωσι. Διὰ δὴ ταύτας τὰς αἰτίας καὶ διὰ τὴν ἰδίαν ὠμότητα κατέδειξε θύειν τοὺς ξένους, ἵνα διαθροηθείσης*[12] *τῆς φήμης εἰς ἅπαντα τόπον περὶ τῆς Κόλχων ἀγριότητος μηδεὶς τῶν ξένων ἐπιβῆναι τολμήσῃ τῆς χώρας. Πυρίπνοι δὲ ταῦροι περὶ τὸ τέμενος ὑπῆρχον καὶ δράκων ἐτήρει τὸ δέρας.*

3. Die Argonautenfahrt.

a) Veranlassung.

Ἰάσων ἦν υἱὸς μὲν Αἴσονος, ἀδελφιδοῦς δὲ Πελίου τοῦ Θετταλῶν βασιλέως, ᾧ χρωμένῳ περὶ τῆς βασιλείας ἀνεῖλε ὁ θεὸς τὸν μονοσάνδαλον φυλάξασθαι. Τὸ μὲν οὖν πρῶτον[13] *ἠγνόει τὸν χρησμόν, αὖθις δὲ ὕστερον αὐτὸν ἔγνω. Τελῶν γὰρ ἐπὶ τῇ θαλάσσῃ Ποσειδῶνι θυσίαν ἄλλους τε πολλοὺς ἐπὶ ταύτῃ καὶ τὸν Ἰάσονα μετεπέμψατο· ὁ δὲ πόθῳ*[14] *γεωργίας ἐν τοῖς χωρίοις διατελῶν ἔσπευσεν ἐπὶ τὴν θυσίαν, διαβαίνων δὲ τὸν Ἄναυρον ποταμὸν ἐξῆλθε μονοσάνδαλος, τὸ ἕτερον ἀπολέσας ἐν τῷ ῥείθρῳ πέδιλον. Θεασάμενος οὖν Πελίας αὐτὸν καὶ τὸν χρησμὸν συμβαλὼν ἠρώτα προσελθών, τί ἂν ἐποίησεν*[15] *ἐξουσίαν ἔχων, εἰ λόγιον ἦν αὐτῷ ὑπό τινος φονευθήσεσθαι τῶν πολιτῶν. Ὁ δέ, εἴτε ἐπελθὸν*[16] *ἄλλως, εἴτε διὰ μῆνιν Ἥρας, ἵν' ἔλθοι κακὸν*[17] *Μήδεια*

---

[9] ergänze *αὐτῷ*. — [10] die Genet. sind von *μεταξύ* abhängig. — [11] poetische Form = *δέρμα*. — [12] mit sobald aufzulösen. — [13] anfangs. — [14] aus Vorliebe. — [15] Conditionalis der Vergangenheit. — [16] Unpersönliche Verba stehen im Accus. absolutus statt im Genet. — [17] zum Unheil.

Πελίᾳ (τὴν γὰρ Ἥραν οὐκ ἐτίμα), „Τὸ χρυσόμαλλον δέρας, ἔφη, προσέταττον ἄν[18] φέρειν αὐτῷ.“ Τοῦτο Πελίας ἀκούσας εὐθὺς ἐπὶ τὸ δέρας ἐλθεῖν ἐκέλευσεν αὐτόν. Ὁ δὲ Ἰάσων δόξης ὀρεγόμενος καὶ τὸ ἆθλον δυσέφικτον μέν, οὐ κατὰ πᾶν[19] δ' ἀδύνατον κρίνων καὶ διὰ τοῦτο μᾶλλον ἐπιφανέστερος ἔσεσθαι ὑπολαμβάνων, παρεσκευάσατο πρὸς τὴν ἐπιβολήν. Καὶ πρῶτον μὲν Ἄργον παρεκάλεσε τὸν Φρίξου, κἀκεῖνος Ἀθηνᾶς ὑποθεμένης πεντηκόντορον ναῦν κατεσκεύασε τὴν ὀνομασθεῖσαν ἀπὸ τοῦ κατασκευάσαντος Ἀργώ· κατὰ δὲ τὴν πρῷραν ἐνήρμοσεν Ἀθηνᾶ φωνῆεν φηγοῦ τῆς Δωδωνίδος ξύλον. Ἰάσων δὲ καθελκύσας τὸ σκάφος ἐξέλεξε τῶν ὀρεγομένων τῆς αὐτῆς προαιρέσεως τοὺς ἐπιφανεστάτους ἀριστεῖς, ὥστε σὺν αὐτῷ τοὺς ἅπαντας εἶναι πεντήκοντα καὶ τέτταρας· τούτων δ' ὑπῆρχον ἐνδοξότατοι Κάστωρ καὶ Πολυδεύκης, ἔτι δ' Ἡρακλῆς καὶ Τελαμὼν καὶ Θησεύς, πρὸς δὲ τούτοις Ὀρφεὺς καὶ ἡ Σχοινέως Ἀταλάντη.

b) Abenteuer bei den Dolionen.

Οὗτοι ναυαρχοῦντος Ἰάσονος ἀναχθέντες καὶ παραλλάξαντες τόν τε Ἄθω καὶ Σαμοθρᾴκην προσέχουσι Δολίοσιν, ὧν ἐβασίλευε Κύζικος. Οὗτος αὐτοὺς ὑπεδέξατο φιλοφρόνως· νυκτὸς[20] δ' ἀναχθέντες καὶ περιπεσόντες ἀνέμοις ἐναντίοις πάλιν εἰς τοὺς Δολίονας προσέχουσιν. Οἱ δὲ νομίζοντες Πελασγικὸν εἶναι στρατόν (ἔτυχον γὰρ ὑπὸ Πελασγῶν συνεχῶς πολεμούμενοι), μάχην τῆς νυκτὸς συνάπτουσιν ἀγνοοῦντες πρὸς ἀγνοοῦντας. Ἀποκτείναντες δὲ πολλοὺς οἱ Ἀργοναῦται, μεθ' ὧν καὶ Κύζικον, μεθ' ἡμέραν[21], ὡς ἔγνωσαν, ἀποδυράμενοι τάς τε κόμας ἐκείραντο καὶ τὸν Κύζικον πολυτελῶς ἔθαψαν.

c) Raub des Hylas.

Ἐν Μυσίᾳ δὲ Ἡρακλέα καὶ Πολύφημον κατέλιπον. Ὕλας γὰρ ὁ Θειοδάμαντος παῖς ἀποσταλεὶς ὑδρεύσασθαι, διὰ κάλλος ὑπὸ νυμφῶν ἡρπάσθη· Πολύφημος δὲ ἀκούσας αὐτοῦ βοῶντος σπασάμενος τὸ ξίφος ἐδίωξεν, ὑπὸ λῃστῶν ἄγεσθαι νομίζων· καὶ δηλοῖ συντυχόντι Ἡρακλεῖ. Ζητούντων οὖν ἀμφοτέρων τὸν Ὕλαν ἡ ναῦς ἀνήχθη, καὶ Πολύφημος μὲν ἐν Μυσίᾳ κτίσας πόλιν, Κίου ἐβασίλευσεν, Ἡρακλῆς δὲ ὑπέστρεψεν εἰς Ἄργος.

---

[18] Conditionalis der Gegenwart. — [19] durchaus. — [20] wann? — [21] bei Tage.

d) Amykos.

Ἀπὸ δὲ Μυσίας ἀπῆλθον εἰς τὴν Βεβρύκων γῆν, ἧς ἐβασίλευεν Ἄμυκος Ποσειδῶνος παῖς καὶ Βιθυνίδος· γενναῖος δὲ ὢν οὗτος τοὺς προσσχόντας ξένους ἠνάγκαζε πυκτεύειν καὶ τοῦτον τὸν τρόπον ἀνῄρει. Παραγενόμενος οὖν καὶ τότε ἐπὶ τὴν Ἀργώ, τὸν ἄριστον αὐτῶν εἰς πυγμὴν προὐκαλεῖτο. Πολυδεύκης δὲ ὑποσχόμενος πυκτεύσειν πρὸς αὐτόν, πλήξας κατὰ τὸν αὐχένα ἀπέκτεινε· τῶν δὲ Βεβρύκων ὁρμησάντων πρὸς αὐτόν, ἁρπάσαντες οἱ ἀριστεῖς τὰ ὅπλα πολλοὺς φεύγοντας φονεύουσιν αὐτῶν.

e) Phineus und die Harpyien.

Ἐντεῦθεν ἀναχθέντες ἦλθον εἰς Σαλμυδησσόν, ἔνθα ᾤκει Φινεὺς μάντις τὰς ὄψεις[22] πεπηρωμένος. Πηρωθῆναι δέ φασιν αὐτὸν ὑπὸ Ποσειδῶνος, ὅτι τοῖς Φρίξου παισὶ τὸν ἐκ Κόλχων εἰς τὴν Ἑλλάδα πλοῦν ἐμήνυσεν· ἔπεμψαν δὲ αὐτῷ καὶ τὰς ἁρπυίας οἱ θεοί· πτερωταὶ δὲ ἦσαν αὗται, καὶ ὁπότε τῷ Φινεῖ παρατίθοιτο[23] τράπεζα, ἐξ οὐρανοῦ καταπετόμεναι τὰ μὲν πλείονα ἀνήρπαζον, ὀλίγα δὲ ὀσμῆς ἀνάπλεα κατέλειπον, ὥστε μὴ δύνασθαι[24] προσενέγκασθαι. Βουλομένοις δὲ τοῖς Ἀργοναύταις τὰ περὶ τοῦ πλοῦ μαθεῖν ὑποθήσεσθαι τὸν πλοῦν ἔφη, τῶν ἁρπυιῶν αὐτὸν ἐὰν ἀπαλλάξωσιν. Οἱ δὲ παρέθεσαν αὐτῷ τράπεζαν ἐδεσμάτων[25], ἅρπυιαι δὲ ἐξαίφνης σὺν βοῇ καταπτόμεναι τὴν τροφὴν ἥρπαζον[26]. Θεασάμενοι δὲ οἱ Βορέου παῖδες Ζήτης καὶ Κάλαϊς, ὄντες πτηρωτοί, σπασάμενοι τὰ ξίφη δι' ἀέρος ἐδίωκον. Ἦν δὲ ταῖς ἁρπυίαις χρεὼν τεθνάναι ὑπὸ τῶν Βορέου παίδων, τοῖς δὲ Βορέου παισὶ τότε τελευτήσειν, ὅταν διώκοντες μὴ καταλάβωσι. Διωκομένων οὖν τῶν ἁρπυιῶν ἡ μὲν κατὰ τὸν Πελοπόννησον εἰς τὸν Τίγρην ποταμὸν ἐμπίπτει, ὃς ἀπ' ἐκείνης Ἅρπυς καλεῖται, ἡ δὲ ἑτέρα κατὰ τὴν Προποντίδα φεύγουσα μέχρις Ἐχινάδων ἦλθε νήσων, αἳ ἀπ' ἐκείνης Στροφάδες καλοῦνται· ἐστράφη γάρ, ὡς ἦλθεν ἐπὶ ταύτας, καὶ γενομένη κατὰ ἠόνα ὑπὸ καμάτου πίπτει σὺν τῷ διώκοντι.

f) Die Symplegaden.

Ἀπαλλαγεὶς δὲ τῶν ἁρπυιῶν Φινεὺς ἐμήνυσε τὸν πλοῦν τοῖς Ἀργοναύταις, καὶ περὶ τῶν συμπληγάδων ὑπέθετο πετρῶν τῶν

---

[22] Akk. der Beziehung. — [23] s. erste Abth. § 45a. 2. — [24] nämlich Phineus. — [25] mit Sp. — [26] Imperf. conatus: wollten ...

κατὰ θάλασσαν· ἦσαν δὲ ὑπερμεγέθεις αὗται, συγκρουόμεναι δὲ ἀλλήλαις ὑπὸ τῆς τῶν πνευμάτων βίας τὸν διὰ θαλάσσης πόρον ἀπέκλειον· ἐφέρετο δὲ πολλὴ μὲν ὑπὲρ αὐτῶν ὁμίχλη, πολὺς δὲ πάταγος, ἦν δὲ ἀδύνατον καὶ τοῖς πτηνοῖς δι' αὐτῶν ἐλθεῖν. Εἶπεν οὖν αὐτοῖς ἀφεῖναι[27] πελειάδα διὰ τῶν πετρῶν, καὶ ταύτην ἐὰν μὲν ἴδωσι σωθεῖσαν, διαπλεῖν καταφρονοῦντας, ἐὰν δὲ ἀπολομένην[28], μὴ πλεῖν βιάζεσθαι. Ταῦτα ἀκούσαντες ἀνηγάγοντο καὶ ὡς πλησίον ἦσαν τῶν πετρῶν ἀφιᾶσιν ἐκ τῆς πρῴρας πελειάδα· τῆς δὲ πετομένης τὰ ἄκρα τῆς οὐρᾶς ἡ σύμπτωσις τῶν πετρῶν ἀπέκοψεν· ἀναχωρούσας οὖν ἐπιτηρήσαντες τὰς πέτρας μετ' εἰρεσίας ἐντόνου, συλλαβομένης Ἥρας, διῆλθον, τὰ ἄκρα τῶν ἀφλάστων τῆς νεὼς περικοπείσης. Αἱ μὲν οὖν Συμπληγάδες ἐξ ἐκείνου[29] ἔστησαν· χρέων γὰρ ἦν αὐταῖς νεὼς περαιωθείσης[30] στῆναι παντελῶς. Οἱ δὲ Ἀργοναῦται πρὸς Μαριανδυνοὺς παρεγένοντο, κἀκεῖ φιλοφρόνως ὁ βασιλεὺς ὑπεδέξατο Λύκος. Ἐνταῦθα ἀποθνήσκει μὲν Ἴδμων ὁ μάντις πληγεὶς ὑπὸ καπροῦ, ἀποθνήσκει δὲ καὶ Τῖφυς, ὁ κυβερνήτης, καὶ τὴν ναῦν Ἀγκαῖος ὑπισχνεῖται κυβερνᾶν.

g) Medea.

Παραπλεύσαντες δὲ Θερμώδοντα καὶ Καύκασον ἐπὶ τὸν Φᾶσιν ποταμὸν ἦλθον· οὗτος τῆς Κολχικῆς ἐστι γῆς. Καθορμισθείσης δὲ τῆς νεὼς ἧκε πρὸς Αἰήτην Ἰάσων καὶ τὰ ἐπιταχθέντα ὑπὸ Πελίου λέγων παρεκάλει δοῦναι τὸ δέρας αὐτῷ. Ὁ δὲ δώσειν ὑπέσχετο, ἐὰν τοὺς χαλκόποδας ταύρους μόνος καταζεύξῃ· ἦσαν δὲ ἄγριοι παρ' αὐτῷ οὗτοι[31] ταῦροι δύο, μεγέθει διαφέροντες, δῶρον Ἡφαίστου, οἳ χαλκοῦς μὲν εἶχον πόδας, πῦρ δὲ ἐκ στομάτων ἐφύσων· τούτους αὐτῷ ζεύξαντι[32] ἐπέτασσε σπείρειν δράκοντος ὀδόντας. Ἀποροῦντος δὲ τοῦ Ἰάσονος, πῶς ἂν δύναιτο τοὺς ταύρους καταζεῦξαι, Μήδεια ἡ Αἰήτου θυγάτηρ ἐλήφθη ἔρωτι αὐτοῦ. Δεδοικυῖα οὖν, μὴ ὑπὸ τῶν ταύρων διαφθαρῇ, κρύφα τοῦ πατρὸς συνεργήσειν αὐτῷ πρὸς τὴν κατάζευξιν τῶν ταύρων ἐπηγγείλατο καὶ τὸ δέρας ἐγχειριεῖν, ἐὰν ὀμόσῃ αὐτὴν ἕξειν γυναῖκα καὶ εἰς τὴν Ἑλλάδα σύμπλουν ἀγάγηται. Ὀμόσαντος

[27] sie sollten ... — [28] ergänze ἴδωσι. — [29] seit jener Zeit. — [30] mit sobald aufzulösen. — [31] ἄγριοι ταῦροι δύο ist Prädikat, οὗτοι Subjekt. — [32] wenn er — habe.

δὲ Ἰάσονος φάρμακον δίδωσιν, ᾧ καταζευγνύναι μέλλοντα τοὺς ταύρους ἐκέλευσε χρῖσαι τήν τε ἀσπίδα καὶ τὸ δόρυ καὶ τὸ σῶμα· τούτῳ γὰρ χρισθέντα ἔφη πρὸς μίαν ἡμέραν μήτε ὑπὸ πυρὸς ἀδικήσεσθαι[33] μήτε ὑπὸ σιδήρου· ἐδήλωσε δὲ αὐτῷ σπειρομένων τῶν ὀδόντων ἐκ γῆς ἄνδρας μέλλειν ἀναδύεσθαι ἐπ' αὐτὸν καθωπλισμένους· οὓς[34] ἔλεγεν ἐπειδὰν ἀθρόους θεάσηται, βάλλειν[35] εἰς μέσον λίθους ἄποθεν, ὅταν δὲ ὑπὲρ τούτου μάχωνται πρὸς ἀλλήλους τότε ἀποκτείνειν[35] αὐτούς.

h) Entführung des Vließes.

Ἰάσων δὲ τοῦτο ἀκούσας καὶ χρισάμενος τῷ φαρμάκῳ, παραγενόμενος εἰς τὸ τοῦ νεὼ ἄλσος ἐμάστευε τοὺς ταύρους καὶ σὺν πολλῷ πυρὶ ὁρμήσαντας αὐτοὺς κατέζευξεν. Σπείροντος δὲ αὐτοῦ τοὺς ὀδόντας ἀνέτελλον ἐκ τῆς γῆς ἄνδρες ἔνοπλοι. Ὁ δὲ ὡς πλείονας ἑώρα, βάλλων ἀφανεῖς λίθους, πρὸς αὐτοὺς μαχομένους ἀλλήλοις προσιὼν ἀνεῖλε. Καὶ κατεζευγμένων τῶν ταύρων οὐκ ἐδίδου[36] τὸ δέρας Αἰήτης, ἐβούλετο δὲ τήν τε Ἀργὼ ἐμπρῆσαι καὶ ἀποκτεῖναι τοὺς ἐμπλέοντας. Φθάσασα δὲ Μήδεια τὸν Ἰάσονα νυκτὸς ἐπὶ τὸ δέρας ἤγαγε, καὶ τὸν φυλάσσοντα δράκοντα κατακοιμίσασα τοῖς φαρμάκοις, μετὰ Ἰάσονος, ἔχουσα τὸ δέρας, ἐπὶ τὴν Ἀργὼ παρεγένετο. Συνείπετο δὲ αὐτῇ καὶ ὁ ἀδελφὸς Ἄψυρτος. Οἱ δὲ νυκτὸς μετὰ τούτων ἀνήχθησαν.

i) Die Verfolgung.

Αἰήτης δὲ ἐπιγνοὺς τὰ τῇ Μηδείᾳ[37] τετολμημένα ὥρμησε τὴν ναῦν διώκειν. Ἰδοῦσα δὲ αὐτὸν πλησίον ὄντα Μήδεια τὸν ἀδελφὸν φονεύει καὶ μελίσασα κατὰ βυθοῦ ῥίπτει. Συναθροίζων δὲ Αἰήτης τὰ τοῦ παιδὸς μέλη τῆς διώξεως ὑστέρησεν. Διόπερ ὑποστρέψας καὶ τὰ σωθέντα τοῦ παιδὸς μέλη θάψας τὸν τόπον προσηγόρευσε Τόμους.

k) Die Entsühnung.

Τοῖς δὲ Ἀργοναύταις τὸν Ἠριδανὸν ποταμὸν ἤδη παραπλέουσι μηνίσας Ζεὺς ὑπὲρ τοῦ φονευθέντος Ἀψύρτου, χειμῶνα ἐπιπέμψας, ἐμβάλλει πλάνην. Καὶ αὐτῶν τὰς Ἀψυρτίδας νήσους παραπλεόντων, ἡ ναῦς φθέγγεται, μὴ λήξειν τὴν ὀργὴν τοῦ Διός, ἐὰν μὴ πορευθέντες εἰς τὴν Αὐσονίαν καθαρθῶσιν ὑπὸ Κίρκης. Οἱ

---

[33] Gramm. § 177. — [34] οὓς ἐπειδάν wann er nun diese. — [35] solle er ... — [36] wollte nicht geben. — [37] für ὑπὸ τῆς Μηδείας.

δὲ παραπλεύσαντες τὰ Λιγύων καὶ Κελτῶν ἔθνη καὶ διὰ τοῦ Σαρδονίου πελάγους κομισθέντες, παραμειψάμενοι Τυῤῥηνίαν, ἦλθον εἰς Αἰαίαν. Ἔνθα Κίρκῃ ἱκέται γενόμενοι καθαίρονται.

l) Die Sirenen und die Charybdis.

Παραπλεόντων δὲ Σειρῆνας αὐτῶν, Ὀρφεὺς ᾄδων τοὺς Ἀργοναύτας κατέσχεν. Μετὰ δὲ τὰς Σειρῆνας τὴν ναῦν Χάρυβδις ἐξεδέχετο καὶ Σκύλλα καὶ Πέτραι Πλαγκταί, ὑπὲρ ὧν φλὸξ πολλὴ καὶ καπνὸς ἀναφερόμενος ἑωρᾶτο. Ἀλλὰ διὰ τούτων διεκόμισε τὴν ναῦν σὺν Νηρηίσι Θέτις παρακληθεῖσα ὑπὸ Ἥρας. Παραμειψάμενοι δὲ Θρινακίαν νῆσον, Ἡλίου βοῦς ἔχουσαν, εἰς τὴν Φαιάκων νῆσον Κέρκυραν ἧκον, ἧς βασιλεὺς ἦν Ἀλκίνοος.

m) Talos.

Ἐντεῦθεν ἀναχθέντες κωλύονται εἰς Κρήτην προσέχειν ὑπὸ Τάλω. Τοῦτον οἱ μὲν τοῦ χαλκοῦ γένους εἶναι λέγουσιν, οἱ δὲ ὑπὸ Ἡφαίστου Μίνῳ δοθῆναι· εἶχε δὲ φλέβα μίαν ἀπὸ αὐχένος κατατείνουσαν ἄχρι σφυρῶν· ἧλος δ' ἐνεκέκρουστο χαλκοῦς. Οὗτος ὁ Τάλως τρὶς ἑκάστης ἡμέρας[38] περὶ τὴν νῆσον περιθέων ἐτήρει. διὸ καὶ τότε τὴν Ἀργὼ καὶ τότε τὴν Ἀργὼ προσπλέουσαν ὁρῶν τοῖς λίθοις ἔβαλλεν. Ἐξαπατηθεὶς δὲ ὑπὸ Μηδείας ἀπέθανεν· ὑποσχομένης γὰρ ποιήσειν ἀθάνατον αὐτὸν καὶ τὸν ἧλον ἐξελούσης, ἐξεῤῥύη τὸ πᾶν ἰχώρ.

n) Die Unthaten des Pelias.

Τῆς δὲ τῶν ἀριστέων ἀπονοστήσεως ἀγνοουμένης ἔτι, λόγος διέρχεται πάντας τοὺς μετ' Ἰάσονος στρατεύσαντας ἐν τοῖς κατὰ Πόντον τόποις ἀπολωλέναι. Διόπερ ὁ Πελίας καιρὸν ἔχειν ὑπολαμβάνων τοὺς ἐφέδρους[39] τῆς βασιλείας πάντας ἄρδην ἀνεῖλε. Τὸν μὲν γὰρ πατέρα τοῦ Ἰάσονος ἠνάγκασε πιεῖν αἷμα ταύρου, τὸν δ' ἀδελφὸν Πρόμαχον ἐφόνευσεν. Ἀμφινόμη δὲ ἡ μητὴρ μέλλουσα ἀναιρεῖσθαι μνήμης ἀξίαν ἐπετελέσατο πρᾶξιν· καταφυγοῦσα γὰρ ἐπὶ τὴν ἑστίαν τοῦ βασιλέως καὶ καταρασαμένη παθεῖν[40] αὐτὸν ἄξια τῶν ἀσεβημάτων, ξίφει πατάξασα ἑαυτῆς τὸ στῆθος ἡρωικῶς κατέστρεψε τὸν βίον. Ὁ δὲ Πελίας τούτῳ τῷ τρόπῳ πᾶσαν τὴν Ἰάσονος συγγένειαν ἄρδην ἀνελὼν ταχὺ τὴν προσήκουσαν τοῖς ἀσεβήμασι τιμωρίαν ἔτισεν.

---

[38] innerhalb welcher Zeit? — [39] die Herrschaft hätte eigentlich dem Äson gehört, dem sie sein Bruder Pelias entrissen hatte. — [40] e r s o l l e ...

o) Heimkehr des Jason. Tod des Pelias.

Ὁ γὰρ Ἰάσων καταπλεύσας νυκτὸς τῆς Θετταλίας εἰς ὅρμον ἔμαθε παρά τινος τῶν ἐγχωρίων τὰ γενόμενα ἀτυχήματα. Πάντων δὲ τῶν ἀριστέων ἑτοίμων ὄντων βοηθεῖν τῷ Ἰάσονι καὶ πάντα κίνδυνον ὑποστῆναι περὶ τῆς ἐπιθέσεως ἐνέπεσεν αὐτοῖς ἀμφισβήτησις. Ἐνταῦθα ἡ Μήδεια ἐπηγγείλατο δι' αὐτῆς τὸν Πελίαν ἀποκτενεῖν δόλῳ. Καὶ εἰς τὰ βασίλεια τοῦ Πελίου παρελθοῦσα πείθει τὰς θυγατέρας αὐτοῦ τὸν πατέρα ἑψῆσαι, διὰ φαρμάκων αὐτὸν ἐπαγγελλομένη ποιήσειν νέον. Προσάντως δὲ τῶν παρθένων δεξαμένων τὸν λόγον, ἐπενόησε πίστιν τῶν ὑπ' αὐτῆς λεγομένων· Κατὰ μέλη γὰρ διελοῦσα τὸ κριοῦ σῶμα ἥψησε καὶ διά τινων φαρμάκων παρακρουσαμένη ἐξεῖλεν ἐκ τοῦ λέβητος ἀρνὸς εἴδωλον. Ἐνταῦθα δὴ αἱ παρθένοι καταπλαγεῖσαι καὶ πίστιν τῆς ἐπαγγελίας ἡγησάμεναι ἔχειν ὑπήκουσαν τοῖς προστάγμασι. Καὶ αἱ μὲν ἄλλαι ἅπασαι τὸν πατέρα τύπτουσαι ἀπέκτειναν, μόνη δ' Ἄλκηστις δι' εὐσεβείας ὑπερβολὴν ἀπέσχετο τοῦ γεννήσαντος. Ἄκαστος δὲ μετὰ τῶν τὴν Ἰωλκὸν οἰκούντων τὸν πατέρα θάπτει, τὸν δ' Ἰάσονα μετὰ τῆς Μηδείας τῆς Ἰωλκοῦ ἐκβάλλει· οἱ δὲ ἧκον εἰς Κόρινθον παρὰ Κρέοντα.

4. Medea und Glauke.

Ἰάσων ἐν Κορίνθῳ κατοικῶν συνεβίωσε δέκα ἔτη Μηδείᾳ· μετὰ δὲ ταῦτα Γλαύκης ἐρασθεὶς τῆς Κρέοντος θυγατρὸς ἐμνήστευσε τὴν παρθένον. Συγκαταθεμένου δὲ τοῦ πατρὸς καὶ τάξαντος ἡμέραν τοῖς γάμοις[41], τὸ μὲν πρῶτον ἐπεβάλετο πείθειν τὴν Μήδειαν ἑκουσίως παραχωρῆσαι τῆς συμβιώσεως· βούλεσθαι[42] γὰρ ἐκείνην γαμεῖν οὐκ ἀποδοκιμάσαντα τὴν πρὸς αὐτὴν ὁμιλίαν, ἀλλὰ τοῖς τέκνοις σπεύδοντα συγγενῆ τὸν τοῦ βασιλέως οἶκον ποιῆσαι· Ἀγανακτούσης δὲ τῆς γυναικὸς καὶ θεοὺς μαρτυρομένης τοὺς ἐπόπτας γενομένους τῶν ὅρκων, ὁ Ἰάσων καταφρονήσας τῶν ὅρκων ἔγημε τὴν τοῦ βασιλέως θυγατέρα. Ἡ δὲ Μήδεια ἐξελαυνομένη ἐκ τῆς πόλεως καὶ μίαν ἡμέραν παρὰ τοῦ Κρέοντος λαβοῦσα, εἰς τὴν τῆς φυγῆς παρασκευήν, τοὺς υἱοὺς ἐκέλευσε πέπλον κομίσαι τῇ νύμφῃ φαρμάκοις κεχρισμένον· ἡ δὲ Γλαύκη

---

[41] wofür? — [42] Der Inf. ist von einem aus πείθειν zu entnehmenden verbum dicendi abhängig.

δεξαμένη καὶ τῷ σώματι περιθεμένη αὐτή τε συμφορᾷ περιέπεσε, καὶ ὁ πατὴρ βοηθῶν καὶ τοῦ σώματος ἁψάμενος ἐτελεύτησεν. Ἡ δὲ Μήδεια ἐπὶ τοσοῦτο προῆλθεν ὀργῆς ἅμα καὶ ζηλοτυπίας, ἔτι δὲ ὠμότητος, ὥστε τοὺς παῖδας, οὓς εἶχεν ἐξ Ἰάσονος, Μέρμερον καὶ Φέρητα, ἀπέκτεινεν. Καὶ λαβοῦσα παρ' Ἡλίου ἅρμα πτηνῶν δρακόντων[43] ἐπὶ τούτου φεύγουσα ἦλθεν εἰς Ἀθήνας. Ἐνταῦθα δὲ Αἰγεῖ συνοικήσασα ἔτεκε Μῆδον. Ἐπιβουλεύουσα δὲ ὕστερον Θησεῖ[44], ἐξ Ἀθηνῶν μετὰ τοῦ παιδὸς ἐξέπεσεν· ἀλλ' οὗτος μὲν πολλῶν κρατήσας βαρβάρων τὴν ὑφ' ἑαυτὸν[45] χώραν ἅπασαν Μηδίαν ἐκάλεσε καὶ στρατευόμενος ἐπ' Ἰνδοὺς ἀπέθανε· Μήδεια δὲ εἰς Κόλχους διεσώθη καὶ καταλαβοῦσα Αἰήτην ὑπὸ τοῦ ἀδελφοῦ Πέρσου τῆς βασιλείας ἐστερημένον, ἀποκτείνασα τοῦτον τῷ πατρὶ τὴν βασιλείαν ἀπέδωκεν.

5. Danaos.

Λιβύης καὶ Ποσειδῶνος ἐγένοντο παῖδες δίδυμοι, Ἀγήνωρ καὶ Βῆλος. Ἀγήνωρ μὲν οὖν εἰς Φοινίκην ἀπαλλαγεὶς ἐβασίλευσεν. Βῆλος δὲ ὑπομείνας ἐν Αἰγύπτῳ βασιλεύει μὲν Αἰγύπτου, γαμεῖ δὲ Ἀγχινόην τὴν Νείλου θυγατέρα, καὶ αὐτῷ γίγνονται παῖδες δίδυμοι, Αἴγυπτος καὶ Δαναός. Δαναὸν μὲν οὖν Βῆλος ἐν Λιβύῃ κατῴκισεν, Αἴγυπτον δὲ ἐν Ἀραβίᾳ, ὃς καὶ καταστρεψάμενος τὴν Μελαμπόδων χώραν ἀφ' ἑαυτοῦ ὠνόμασεν Αἴγυπτον. Γίγνονται δὲ ἐκ πολλῶν γυναικῶν Αἰγύπτῳ μὲν παῖδες πεντήκοντα, θυγατέρες δὲ Δαναῷ πεντήκοντα. Στασιασάντων δὲ αὐτῶν περὶ τῆς ἀρχῆς ὕστερον, Δαναὸς τοὺς Αἰγύπτου παῖδας δεδοικώς, ὑποθεμένης Ἀθηνᾶς αὐτῷ, ναῦν κατεσκεύασε πρῶτος πεντηκόντορον καὶ τὰς θυγατέρας ἐνθέμενος ἔφυγεν. Προσέχων δὲ Ῥόδῳ τὸ τῆς Λινδίας Ἀθηνᾶς ἄγαλμα ἱδρύσατο. Ἐντεῦθεν δὲ ἧκεν εἰς Ἄργος, καὶ τὴν βασιλείαν αὐτῷ παρέδωκε Γελάνωρ ὁ τότε βασιλεύων. Ἀνύδρου δὲ τῆς χώρας ὑπαρχούσης, ἐπειδὴ καὶ τὰς πηγὰς ἐξήρανε Ποσειδῶν, μηνίων Ἰνάχῳ[46], διότι τὴν χώραν Ἥρας ἐμαρτύρησεν εἶναι, τὰς θυγατέρας ὑδρευσομένας ἔπεμψεν. Οἱ δὲ

---

[43] mit .... — [44] ihrem Stiefsohne. — [45] das von ihm unterworfene. — [46] König von Argos, der die Ebene wohnlich gemacht haben soll. Als Poseidon und Hera über den Besitz von Argos stritten, entschied Inachos zu Gunsten der Hera.

Αἰγύπτου παῖδες ἐλθόντες εἰς Ἄργος τῆς τε ἔχθρας παύσασθαι παρακαλοῦντες τὰς θυγατέρας αὐτοῦ γαμεῖν ἠξίουν. Δαναὸς δὲ ἅμα μὲν ἀπιστῶν αὐτῶν τοῖς ἐπαγγέλμασιν, ἅμα δὲ καὶ μνησικακῶν περὶ φυγῆς ὡμολόγησε τοὺς γάμους καὶ διεκλήρωσε τὰς κόρας. Ὡς δὲ ἐκληρώσαντο τοὺς γάμους, ἑστιάσας ἐγχειρίδια διέδωκε ταῖς θυγατράσιν, αἱ δὲ τοὺς νυμφίους ἀπέκτειναν πλὴν Ὑπερμνήστρας· αὕτη δὲ Λυγκέα διέσωσε, διὸ καθείρξας αὐτὴν Δαναὸς ἐφρούρει. Αἱ δὲ ἄλλαι τῶν Δαναοῦ θυγατέρων τὰς μὲν κεφαλὰς τῶν νυμφίων ἐν τῇ Λέρνῃ κατώρυξαν, τὰ δὲ σώματα πρὸ τῆς πόλεως ἐκήδευσαν. Καὶ αὐτὰς ἐκάθηραν Ἀθηνᾶ τε καὶ Ἑρμῆς Διὸς κελεύοντος. Δαναὸς δὲ ὕστερον Ὑπερμνήστραν Λυγκεῖ συνῴκισε, τὰς δὲ λοιπὰς θυγατέρας εἰς γυμνικὸν ἀγῶνα τοῖς νικῶσιν ἔδωκεν.

6. Theseus.

a) Jugendjahre.

Θησεὺς υἱὸς ἦν Αἰγέως καὶ Αἴθρας, ἐτρέφετο δὲ ἐν Τροιζῆνι παρὰ Πιτθεῖ τῷ μητροπάτορι. Αἰγεὺς δὲ ἀπελελοίπει ξίφος καὶ πέδιλα κρύψας ὑπὸ πέτραν μεγάλην ἔντος ἔχουσαν κοιλότητα συμμέτρως ἐμπεριλαμβάνουσαν τὰ κείμενα, διακελευσάμενος τῇ Αἴθρᾳ, ὅταν ὁ παῖς δυνατὸς ᾖ τὴν πέτραν ἀναστῆσαι καὶ ὑφελεῖν τὰ καταλειφθέντα, πέμπειν πρὸς αὐτὸν ἔχοντα ταῦτα μηδενὸς εἰδότος· ἰσχυρῶς γὰρ ἐδεδοίκει τοὺς Παλλαντίδας ἐπιβουλεύοντας αὐτῷ· ἦσαν δὲ πεντήκοντα παῖδες ἐκ Πάλλαντος τοῦ Αἰγέως ἀδελφοῦ γεγονότες. Ἐπεὶ οὖν ὁ Θησεὺς μειράκιον ὢν ἅμα τῇ τοῦ σώματος ῥώμῃ ἀπεδείκνυεν ἀλκὴν καὶ φρόνημα μετὰ νοῦ καὶ συνέσεως βέβαιον, οὕτως[47] *αὐτὸν ἡ Αἴθρα πρὸς τὴν πέτραν προσαγαγοῦσα καὶ φράσασα περὶ τῆς γενέσεως τἀληθές, ἐκέλευσεν ὑφελεῖν τὰ πατρῷα σύμβολα καὶ πλεῖν εἰς Ἀθήνας. Ὁ δὲ τὴν μὲν πέτραν ῥᾳδίως ἀνέωσε, πλεῖν δὲ ἀπέγνω, καίπερ οὔσης ἀσφαλείας καὶ δεομένων τοῦ τε πάππου καὶ τῆς μητρός. Χαλεπὸν γὰρ ἦν πεζῇ πορεύεσθαι τὴν εἰς Ἀθήνας ὁδὸν οὐδὲν μέρος καθαρὸν λῃστῶν καὶ κακούργων ἔχουσαν. Θησεὺς οὖν, ζηλωτὴς ὢν τῆς Ἡρακλέους ἀρετῆς, δεινὸν ἐποιεῖτο καὶ οὐκ ἀνεκτὸν ἐκεῖνον μὲν ἐπὶ τοὺς πανταχοῦ πονηροὺς βαδίζοντα*

---

[47] *οὕτως* steht häufig nach Vordersätzen verschiedener Art oder nach Participien, um den Nachsatz mit Nachdruck aufzunehmen = da nun.

καθαίρειν γῆν καὶ θάλατταν, αὐτὸν δὲ τοὺς ἐμποδὼν ἄθλους ἀποδιδράσκειν.

b) Abenteuer auf der Reise nach Athen.

Καὶ πρῶτον μὲν ἐν τῇ Ἐπιδαυρίᾳ Περιφήτην ὅπλῳ χρώμενον κορύνῃ καὶ διὰ τοῦτο Κορυνήτην ἐπικαλούμενον ἀπέκτεινεν· ἡσθεὶς δὲ τῇ κορύνῃ λαβὼν ὅπλον ἐποιήσατο καὶ διετέλει χρώμενος, ὥσπερ ὁ Ἡρακλῆς τῷ δέρματι τοῦ λέοντος.

Ἐν δ' Ἰσθμῷ Σίνιν τὸν Πιτυοκάμπτην ᾧ τρόπῳ πολλοὺς ἀνῄρει, τούτῳ[48] *διέφθειρεν αὐτός. Οὗτος γὰρ δύο πίτυς κάμπτων καὶ πρὸς ἑκατέραν τὸν ἕτερον βραχίονα προσδεσμεύων, ἄφνω τὰς πίτυς ἠφίει· διόπερ τῶν σωμάτων διὰ τὴν βίαν ἀποσπωμένων, συνέβαινε τοὺς ἀτυχοῦντας μετὰ μεγάλων ὀδυνῶν τελευτᾶν.*

Ἡ δὲ Κρομμυωνία σῦς, ἣν Φαιὰν προσωνόμαζον, οὐ φαῦλον ἦν θηρίον, ἀλλὰ μάχιμον καὶ χαλεπὸν κρατηθῆναι. Ταύτην ὁδοῦ πάρεργον, ὡς μὴ δοκοίη πάντα πρὸς ἀνάγκην πονεῖν, ὑποστὰς ἀνεῖλε.

Ἀνεῖλε δὲ καὶ περὶ τὴν Ἐλευσῖνα Κερκύονα τὸν καταπαλαίοντα τοὺς παριόντας. Μετὰ δὲ ταῦτα Δαμάστην τὸν ἐπικαλούμενον Προκρούστην ἀπέκτεινε τὸν οἰκοῦντα ἐν τῷ λεγομένῳ Κορυδαλλῷ[49] *τῆς Ἀττικῆς*[50]*· οὗτος δὲ τοὺς παριόντας ὁδοιπόρους ἠνάγκαζεν ἐπί τινος κλίνης ἀναπίπτειν, καὶ τῶν μὲν μακροτέρων τὰ ὑπερέχοντα μέρη τοῦ σώματος ἀπέκοπτε, τῶν δὲ ἐλαττόνων τοὺς πόδας προέκρουσεν, ἀφ' οὗπερ Προκρούστης ὠνομάσθη.*

c) Das Wiedererkennen.

Προϊόντι δὲ αὐτῷ καὶ γενομένῳ κατὰ τὸν Κηφισὸν ἄνδρες ἐκ τοῦ Φυταλιδῶν γένους ἀπαντήσαντες ἠσπάσαντο πρῶτοι, καὶ δεομένου καθαρθῆναι τοῖς νενομισμένοις ἁγνίσαντες καὶ μειλίχια θύσαντες εἱστίασαν οἴκοι, οὐδενὸς πρότερον αὐτῷ φιλανθρώπου καθ' ὁδὸν ἐντυχόντος. Κατελθὼν δὲ εἰς τὴν πόλιν εὗρε τά τε κοινὰ ταραχῆς μεστὰ καὶ τὸν οἶκον ἰδίᾳ νοσοῦντα. Μήδεια γὰρ ἐκ Κορίνθου φυγοῦσα παρ' Αἰγέα, συνῆν αὐτῷ. Προαισθομένη

---

[48] für *τούτῳ τῷ τρόπῳ, ᾧ.* — [49] einer der Demen (Landbezirke), in welche Attika eingetheilt war. — [50] Bei einem Ortsnamen steht der Name des Landes, des Volkes rc., dem der Ort angehört, im Genet.

δὲ περὶ τοῦ Θησέως αὔτη, τοῦ δὲ Αἰγέως ἀγνοοῦντος, ἔπεισεν αὐτὸν ὡς ξένον ἑστιῶντα φαρμάκοις ἀνελεῖν. Ἐλθὼν οὖν ὁ Θησεὺς ἐπὶ τὸ ἄριστον οὐκ ἐδοκίμαζε φράζειν αὐτὸν, ὅστις εἴη· ἵνα δὲ ἀνευρεθῇ, κρεῶν παρακειμένων, σπασάμενος τὴν μάχαιραν, ὡς ταῦτα τεμῶν[51], *ἐδείκνυεν ἐκείνῳ. Ταχὺ δὲ καταμαθὼν ὁ Αἰγεὺς τὴν μὲν κύλικα τοῦ φαρμάκου κατέβαλε, τὸν δὲ υἱὸν ἀνακρίνας ἠσπάζετο· οἱ δὲ πολῖται συγκληθέντες ἡδέως ἐδέξαντο αὐτὸν διὰ τὴν ἀνδραγαθίαν.*

d) Der Hinterhalt.

Οἱ δὲ Παλλαντίδαι πρότερον μὲν ἤλπιζον αὐτοὶ τὴν βασιλείαν καθέξειν Αἰγέως ἀτέκνου τελευτήσαντος[52]*· ἐπεὶ δὲ Θησεὺς ἀπεδείχθη διάδοχος, διελόντες ἑαυτοὺς οἱ μὲν ἐμφανῶς Σφηττόθεν ἐχώρουν ἐπὶ τὸ ἄστυ μετὰ τοῦ πατρός, οἱ δὲ Γαργηττοῖ κρύψαντες ἑαυτοὺς ἐνήδρευον, ὡς διχόθεν ἐπιθησόμενοι*[53] *τοῖς ὑπεναντίοις. Ἦν δὲ κῆρυξ μετ' αὐτῶν ἀνὴρ Ἀγνούσιος ὄνομα*[54] *Λεώς· οὗτος ἐξήγγειλε τῷ Θησεῖ τὰ βεβουλευμένα τοῖς Παλλαντίδαις*[55]. *Ὁ δὲ ἐξαίφνης ἐπιπεσὼν τοῖς ἐνεδρεύουσι πάντας διέφθειρεν. Οἱ δὲ μετὰ τοῦ Πάλλαντος πυθόμενοι διεσπάρησαν.*

e) Der Marathonische Stier.

Ὁ δὲ Θησεὺς ἐνεργὸς εἶναι βουλόμενος ἐξῆλθεν ἐπὶ τὸν Μαραθώνιον ταῦρον οὐκ ὀλίγα πράγματα τοῖς οἰκοῦσι τὴν Τετράπολιν παρέχοντα· καὶ χειρωσάμενος ἐπεδείξατο ζῶντα διὰ τοῦ ἄστεος ἐλάσας, εἶτα τῷ Ἀπόλλωνι κατέθυσεν.

f) Der Tribut.

Ὀλίγῳ δὲ ὕστερον ἧκον ἐκ Κρήτης τὸ τρίτον[56] *οἱ*[57] *τὸν δασμὸν ἀπάξοντες*[57]. *Πολλῷ γὰρ πρότερον Ἀνδρώγεως εἷς τῶν Μίνωος παίδων εἰς Ἀθήνας κατῆλθε Παναθηναίων συντελουμένων, ἐν δὲ τοῖς ἀγῶσι νικήσας τοὺς ἀθλητὰς ἅπαντας συνήθης ἐγένετο τοῖς Πάλλαντος παισίν. Ἐνταῦθ' ὁ μὲν Αἰγεὺς ὑποπτεύσας τὴν Ἀνδρώγεω φιλίαν, μή*[58] *ποθ' ὁ Μίνως βοηθήσας τοῖς Παλλαντίδαις ἀφέληται τὴν ἀρχήν, ἐπεβούλευσε τῷ Ἀνδρώγεῳ· βαδίζοντα*

---

[51] scheinbar, um es zu zerlegen. — [52] mit falls aufzulösen. — [53] Finalsatz. — [54] Akk. der Beziehung: mit Namen. — [55] für *ὑπὸ τῶν Παλλαντιδῶν*. — [56] zum dritten Male. — [57] Gesandte, welche — sollten. — [58] in der Besorgniß, es möchte . . .

οὖν εἰς τὰς Θήβας ἐπί τινα θεωρίαν, ἐφόνευσε διά τινων ἐγχωρίων περὶ Οἰνόην τῆς Ἀττικῆς. Μίνως δὲ πυθόμενος τὴν συμφοράν, ἧκεν εἰς τὰς Ἀθήνας δίκας αἰτῶν τοῦ Ἀνδρώγεω φόνου. Οὐδενὸς δ' αὐτῷ προσέχοντος, πρὸς μὲν Ἀθηναίους πόλεμον συνεστήσατο, ἀρὰς δὲ ἐποιήσατο τῷ Διὶ, γενέσθαι τῇ πόλει αὐχμὸν καὶ λιμόν. Χρωμένοις δὲ τοῖς Ἀθηναίοις περὶ τῆς τῶν κακῶν ἀπαλλαγῆς ὁ θεὸς ἀνεῖλε Μίνωι διδόναι[59] δίκας, ἃς ἂν αὐτὸς ἕληται. Ὑπακουσάντων δὲ τῷ θεῷ τῶν Ἀθηναίων, προσέταξεν αὐτοῖς ὁ Μίνως διδόναι ἠθέους ἑπτὰ καὶ παρθένους τοσαύτας δι' ἐνάτου ἔτους[60] βορὰν τῷ Μινωταύρῳ, ὃς εἶχε ταύρου πρόσωπον, τὰ δὲ λοιπὰ ἀνδρός· ἦν δὲ οὗτος ἐν Λαβυρίνθῳ καθειργμένος, ἐν ᾧ τὸν εἰσελθόντα ἀδύνατον ἦν ἐξιέναι.

Ἐπεὶ δ' οὖν καθῆκεν ὁ χρόνος τοῦ τρίτου δασμοῦ καὶ παρέχειν ἔδει τοὺς πατέρας ἐπὶ τὸν κλῆρον, αὖθις ἀνεφύοντο τῷ Αἰγεῖ διαβολαὶ πρὸς τοὺς πολίτας ὀδυρομένους καὶ ἀγανακτοῦντας, ὅτι πάντων αἴτιος ὢν ἐκεῖνος οὐδὲν μέρος ἔχει τῆς κολάσεως μόνος. Ταῦτ' ἠνία τὸν Θησέα, καὶ δικαιῶν μὴ ἀμελεῖν, ἀλλὰ κοινωνεῖν τῆς τύχης τοῖς πολίταις, ἐπέδωκεν ἑαυτὸν ἄνευ κλήρου προσελθών.

g) Die Fahrt nach Kreta.

Πρότερον μὲν οὖν οὐδεμία σωτηρίας ἐλπὶς ὑπέκειτο· διὸ καὶ μέλαν ἵστιον ἔχουσαν, ὡς ἐπὶ συμφορᾷ προδήλῳ, τὴν ναῦν ἔπεμπον· τότε δὲ τοῦ Θησέως τὸν πατέρα θαῤῥύνοντος καὶ μεγαληγοροῦντος, ὡς χειρώσεται τὸν Μινώταυρον, ἔδωκεν ἕτερον ἱστίον λευκὸν τῷ κυβερνήτῃ κελεύσας ὑποστρέφοντα σωζομένου τοῦ Θησέως ἐπάρασθαι τὸ λευκόν· εἰ δὲ μή, τῷ μέλανι πλεῖν καὶ ἀποσημαίνειν τὸ πάθος.

Εὐξάμενος δὲ Θησεὺς κατέβαινεν ἐπὶ θάλασσαν. Ἐπεὶ δὲ κατέπλευσεν εἰς Κρήτην, παρὰ τῆς Ἀριάδνης ἐρασθείσης τὸ λίνον λαβὼν καὶ διδαχθείς, ὡς ἔστι τοῦ Λαβυρίνθου τοὺς ἑλιγμοὺς διεξελθεῖν, ἀπέκτεινε τὸν Μινώταυρον καὶ ἀπέπλευσε τὴν Ἀριάδνην ἀναλαβὼν καὶ τοὺς ἠθέους. Τὴν δὲ Ἀριάδνην ἀπάγξασθαί φασιν ἀπολειφθεῖσαν ὑπὸ τοῦ Θησέως ἐν Νάξῳ.

---

[59] sie sollten .... — [60] alle 9 Jahre (wobei der Ausgangs- und Endpunkt mitgezählt ist).

h) Die Rückkehr.

Τῇ δὲ Ἀττικῇ προσφερομένων ἐπελάθετο μὲν αὐτὸς, ἐπελάθετο δὲ ὁ κυβερνήτης ὑπὸ χαρᾶς ἐπάρασθαι τὸ ἱστίον, ᾧ τὴν σωτηρίαν αὐτῶν ἔδει γνώριμον τῷ Αἰγεῖ γενέσθαι· ὁ δὲ ἀπογνοὺς ἔρριψε κατὰ τῆς πέτρας ἑαυτὸν καὶ διεφθάρη. Καταπλεύσας δὲ ὁ Θησεὺς ἔθυε μὲν αὐτὸς ἃς ἐκπλέων θυσίας εὔξατο τοῖς θεοῖς Φαληροῖ, κήρυκα δὲ ἀπέστειλε τῆς σωτηρίας ἄγγελον εἰς ἄστυ. Οὗτος ἐνέτυχεν ὀδυρομένοις τε πολλοῖς τὴν τοῦ βασιλέως τελευτὴν καὶ χαίρουσιν, ὡς εἰκός, ἑτέροις καὶ φιλοφρονεῖσθαι καὶ στεφανοῦν αὐτὸν ἐπὶ τῇ σωτηρίᾳ προθύμοις οὖσι. Τοὺς μὲν οὖν στεφάνους δεχόμενος τὸ κηρύκειον ἀνέστεφεν· ἐπανελθὼν δὲ ἐπὶ θάλασσαν, οὔπω πεποιημένου σπονδὰς τοῦ Θησέως ἔξω περιέμεινε, οὐ βουλόμενος τὴν θυσίαν ταράξαι. Γενομένων δὲ τῶν σπονδῶν ἀπήγγειλε τὴν τοῦ Αἰγέως τελευτήν. Οἱ δὲ σὺν κλαυθμῷ καὶ θορύβῳ σπεύδοντες ἀνέβαινον εἰς τὴν πόλιν.

i) Vereinigung der Gemeinden Attikas.

Μετὰ δὲ τὴν Αἰγέως τελευτὴν μέγα καὶ θαυμαστὸν ἔργον εἰς νοῦν βαλόμενος, συνῴκισε τοὺς τὴν Ἀττικὴν κατοικοῦντας εἰς ἓν ἄστυ καὶ μιᾶς πόλεως ἕνα δῆμον ἀπέφηνε τέως σποράδας ὄντας καὶ δυσανακλήτους πρὸς τὸ κοινὸν πάντων συμφέρον, ἔστι δ' ὅτε[61] *καὶ διαφερομένους ἀλλήλοις καὶ πολεμοῦντας· ἐπιὼν οὖν ἀνέπειθε*[62] *κατὰ δήμους καὶ γένη, τῶν μὲν ἰδιωτῶν καὶ πενήτων ἐνδεχομένων ταχὺ τὴν παράκλησιν αὐτοῦ, τοῖς δὲ δυνατοῖς ἀβασίλευτον πολιτείαν προτείνων καὶ δημοκρατίαν αὐτῷ μόνον ἄρχοντι πολέμου καὶ νόμων φύλακι χρησομένην*[63]*, τῶν δὲ ἄλλων παρέξουσαν ἅπασιν ἰσομοιρίαν. Τοὺς μὲν οὖν ταῦτα ἔπειθεν, οἱ δὲ τὴν δύναμιν αὐτοῦ δεδιότες μεγάλην οὖσαν ἤδη καὶ τὴν τόλμαν, ἐβούλοντο πειθόμενοι μᾶλλον ἢ βιαζόμενοι ταῦτα συγχωρεῖν.*

k) Pirithoos.

Περιβόητός ἐστι Θησέως ἡ πρὸς Πειρίθουν φιλία, ἣν τόνδε τὸν τρόπον αὐτῷ γενέσθαι λέγουσι. Δόξαν εἶχεν ἐπὶ ῥώμῃ καὶ ἀνδρείᾳ μεγίστην· βουλόμενος οὖν ὁ Πειρίθους ἐξελέγξαι καὶ λαβεῖν διάπειραν, ἤλασε βοῦς ἐκ Μαραθῶνος αὐτοῦ, καὶ πυθό-

---

[61] mitunter. — [62] suchte zu gewinnen. — [63] die ihn nur als Anführer ꝛc. aufstellen werde.

μενος διώκειν μετὰ τῶν ὅπλων ἐκεῖνον οὐκ ἔφυγεν, ἀλλ' ἀναστρέψας ἀπήντησεν. Ὡς δὲ εἶδεν ἅτερος τὸν ἕτερον καὶ τὸ κάλλος ἐθαύμασε καὶ τὴν τόλμαν ἠγάσθη, μάχης μὲν ἔσχοντο, Πειρίθους δὲ πρότερος τὴν δεξιὰν προτείνας ἐκέλευσεν αὐτὸν γενέσθαι δικαστὴν τὸν Θησέα τῆς βοηλασίας· ἑκὼν γὰρ ὑφέξειν[64] ἣν ἂν ὁρίσῃ δίκην ἐκεῖνος. Θησεὺς δὲ καὶ τὴν δίκην ἀφῆκεν αὐτῷ καὶ προὐκαλεῖτο φίλον εἶναι καὶ σύμμαχον· ἐποιήσαντο δὲ τὴν φιλίαν ἔνορκον. Ἐκ δὲ τούτου γαμῶν ὁ Πειρίθους Δηϊδάμειαν ἐδεήθη τοῦ Θησέως ἐλθεῖν καὶ τὴν χώραν ἱστορῆσαι καὶ συγγενέσθαι τοῖς Λαπίθαις. Ἐτύγχανε δὲ καὶ τοὺς Κενταύρους κεκληκὼς ἐπὶ τὸ δεῖπνον. Ὡς δὲ ἠσέλγαινον ὕβρει, ἐτράποντο πρὸς ἄμυναν οἱ Λαπίθαι· καὶ τοὺς μὲν ἔκτειναν αὐτῶν, τοὺς δὲ πολέμῳ κρατήσαντες ὕστερον ἐξέβαλον ἐκ τῆς χώρας τοῦ Θησέως αὐτοῖς συμμαχομένου καὶ συμπολεμοῦντος.

l) Raub der Helena.

Ἡ δὲ Ἑλένης ἁρπαγὴ πολέμου μὲν ἐνέπλησε τὴν Ἀττικήν, Θησεῖ δὲ εἰς[65] φυγὴν καὶ ὄλεθρον ἐτελεύτησεν. Ἔνιοι δὲ λέγουσιν οὐκ αὐτὸν ἁρπάσαι τὴν Ἑλένην, ἀλλὰ Ἴδα καὶ Λυγκέως ἁρπασάντων παρακαταθήκην λαβόντα τηρεῖν καὶ μὴ προΐεσθαι τοῖς Διοσκούροις[66] ἀπαιτοῦσιν. Παραλαβὼν οὖν τὴν παρθένον εἰς Ἀφίδνας ἐκόμισε, καὶ τὴν μηρέρα[67] καταστήσας μετ' αὐτῆς Ἀφίδνῳ παρέδωκεν ὄντι φίλῳ, διακελευσάμενος φυλάττειν.

m) Menestheus und die Tyndariden.

Ἐν δὲ τῷ χρόνῳ τούτῳ Μενεσθεὺς ὁ Πετεὼ τούς τε δυνατοὺς συνίστη καὶ παρώξυνε πάλαι μισοῦντας τὸν Θησέα καὶ τοὺς πολλοὺς διετάραττε, ὡς ὄναρ ἐλευθερίας ὁρῶντας, ἔργῳ δὲ ἀπεστερημένους πατρίδων καὶ ἱερῶν, ὅπως ἀντὶ πολλῶν καὶ ἀγαθῶν καὶ γνησίων βασιλέων πρὸς ἕνα δεσπότην ἔπηλυν καὶ ξένον ἀποβλέπωσι. Ταῦτα δὲ αὐτοῦ πραγματευομένου μεγάλην ῥοπὴν ὁ πόλεμος τῷ νεωτερισμῷ προσέθηκε τῶν Τυνδαριδῶν ἐπελθόντων. Τὸ μὲν οὖν πρῶτον οὐδὲν ἠδίκουν, ἀλλ' ἀπῄτουν τὴν ἀδελφήν. Ἀποκριναμένων δὲ τῶν ἐν ἄστει μήτε ἔχειν μήτε γιγνώ-

---

[64] von einem zu ergänzenden verbum dicendi abhängig. — [65] mit. — [66] Kastor und Pollux, auch die Tyndariden genannt, Brüder der Helena. — [67] die Äthra.

σκειν, ὅπου καταλέλειπται, πρὸς πόλεμον ἐτράποντο. Φράζει δὲ αὐτοῖς Ἀκάδημος ᾐσθημένος τὴν ἐν Ἀφίδναις κρύψιν αὐτῆς. Ἐλθόντες οὖν ἐπὶ τὰς Ἀφίδνας καὶ μάχῃ κρατήσαντες ἐξεῖλον τὸ χωρίον. Αἴθρα δὲ γενομένη αἰχμάλωτος ἀπήχθη εἰς Λακεδαίμονα.

n) Tod des Theseus.

Θησεὺς δὲ μετὰ ταῦτα καταστασιασθεὶς καὶ ἀπογνοὺς τὰ πράγματα τοὺς μὲν παῖδας εἰς Εὔβοιαν ὑπεξέπεμψε πρὸς Ἐλεφήνορα τὸν Χαλκώδοντος, αὐτὸς δὲ κατὰ τῶν Ἀθηναίων ἀρὰς θέμενος, εἰς Σκῦρον ἐξέπλευσεν, οὔσης αὐτῷ πρὸς τοὺς ἐκεῖ φιλίας, ὡς ᾤετο, καὶ χωρίων ἐν τῇ νήσῳ πατρῴων. Ἐβασίλευε δὲ Λυκομήδης τότε τῶν Σκυρίων. Πρὸς τοῦτον οὖν ἀφικόμενος ἐζήτει τοὺς ἀγροὺς ἀπολαβεῖν, ὡς[68] αὐτόθι κατοικήσων· ἔνιοι δέ φασι παρακαλεῖν αὐτὸν βοηθεῖν ἐπὶ τοὺς Ἀθηναίους. Ὁ δὲ Λυκομήδης, εἴτε δείσας τὴν δόξαν τοῦ ἀνδρός, εἴτε τῷ Μενεσθεῖ χαριζόμενος, ἐπὶ τὰ ἄκρα τῆς χώρας ἀναγαγὼν αὐτόν, ὡς[69] ἐκεῖθεν ἐπιδείξων τοὺς ἀγρούς, ἔωσε κατὰ τῶν πετρῶν καὶ διέφθειρεν. Καὶ παραυτίκα μὲν οὐδεὶς ἔσχεν αὐτοῦ λόγον οὐδένα[70] τεθνηκότος· ἀλλὰ τῶν μὲν Ἀθηναίων ἐβασίλευσε Μενεσθεύς, οἱ δὲ παῖδες Ἐλεφήνορι συνεστράτευσαν εἰς Ἴλιον. Τοῦ δὲ Μενεσθέως ἀποθανόντος ἐπανελθόντες αὐτοὶ τὴν βασιλείαν ἀνεκομίσαντο. Πολλῷ δ' ὕστερον Ἀθηναίους ἄλλα[71] τε παρέστησεν ὡς ἥρωα τιμᾶν Θησέα, καὶ τῶν ἐν Μαραθῶνι πρὸς Μήδους μαχομένων ἔδοξαν οὐκ ὀλίγοι φάσμα Θησέως ἐν ὅπλοις καθορᾶν πρὸ αὐτῶν ἐπὶ τοὺς βαρβάρους φερόμενον.

o) Aufsuchung der Gebeine des Theseus.

Μετὰ δὲ τὰ Μηδικὰ Φαίδωνος ἄρχοντος μαντευομένοις τοῖς Ἀθηναίοις ἀνεῖλεν ἡ Πυθία τὰ Θησέως ἀναλαβεῖν ὀστᾶ καὶ θεμένους ἐντίμως παρ' αὐτοῖς φυλάττειν. Ἦν δὲ καὶ λαβεῖν ἀπορία καὶ γνῶναι τὸν τάφον ἀμιξίᾳ[72] καὶ χαλεπότητι τῶν ἐνοικούντων Δολόπων. Οὐ μὴν ἀλλὰ Κίμων ἑλὼν τὴν νῆσον, καὶ φιλοτιμούμενος ἐξανευρεῖν, ἀετοῦ τινα τόπον βουνοειδῆ κόπτοντος, ὥς φασι, τῷ στόματι καὶ διαστέλλοντος τοῖς ὄνυξι, θείᾳ τινὶ τύχῃ συμφρονήσας ἀνέσκαψεν. Εὑρέθη δὲ θήκη τε μεγάλου σώματος αἰχμή

---

[68] in der Absicht. — [69] unter dem Vorwande, er wolle .... — [70] s. erste Abth. § 29. 1. — [71] verschiedene andere Umstände. — [72] in Folge ...

τε παρακειμένη χαλκῇ καὶ ξίφος. Κομισθέντων δὲ τούτων ὑπὸ Κίμωνος ἐπὶ τῆς τριήρους, ἡσθέντες οἱ Ἀθηναῖοι πομπαῖς τε λαμπραῖς ἐδέξαντο καὶ θυσίαις, ὥσπερ[73] αὐτὸν ἐπανιόντα εἰς τὸ ἄστυ.

IV. Marius im ersten Bürgerkriege.

(Nach Plutarch.)

1. Ἐπεὶ ἤδη ἐμνηστεύοντο πολλοὶ τὸν Μιθριδατικὸν πόλεμον[1] ἐν Ῥώμῃ διὰ τῶν δημαγωγῶν, παρὰ πᾶσαν ἐλπίδα Σουλπίκιος δήμαρχος, ἀνὴρ θρασύτατος, παραγαγὼν Μάριον ἀπεδείκνυεν[2] ἀνθύπατον στρατηγὸν ἐπὶ Μιθριδάτην. Καὶ ὁ δῆμος διέστη, τῶν μὲν αἱρουμένων τὰ[3] Μαρίου, τῶν δὲ Σύλλαν καλούντων καὶ τὸν Μάριον ἐπὶ θερμὰ κελευόντων εἰς Βαΐας βαδίζειν καὶ τὸ σῶμα θεραπεύειν ὑπό τε γήρως καὶ ῥευμάτων ἀπειρηκός, ὡς αὐτὸς ἔλεγε. Καὶ γὰρ ἦν ἐκεῖ περὶ Μισηνοὺς τῷ Μαρίῳ πολυτελὴς οἰκία τρυφὰς ἔχουσα καὶ διαίτας θηλυτέρας ἢ κατ' ἄνδρα[4] πολέμων τοσούτων καὶ στρατειῶν αὐτουργόν.

Οὐ μὴν ἀλλὰ Μάριος φιλοτίμως πάνυ καὶ μειρακιωδῶς ἀποτριβόμενος τὸ γῆρας καὶ τὴν ἀσθένειαν, ὁσημέραι κατέβαινεν εἰς τὸ πεδίον, καὶ μετὰ τῶν νεανίσκων γυμναζόμενος ἐπεδείκνυε τὸ σῶμα κοῦφον μὲν ὅπλοις[5], ἔποχον δὲ ταῖς ἱππασίαις, καίπερ οὐκ εὐσταλὴς γεγονὼς ἐν γήρᾳ τὸν ὄγκον[6]. Ἐνίοις μὲν οὖν ἤρεσκε ταῦτα πράττων καὶ κατιόντες ἐθεῶντο τὴν φιλοτιμίαν αὐτοῦ καὶ τὰς ἁμίλλας, οἱ δὲ βέλτιστοι ὁρῶντες ᾤκτειρον τὴν πλεονεξίαν καὶ τὴν φιλοδοξίαν, ὅτι ὅρον οὐκ οἶδεν[7] εὐτυχίας οὐδὲ θαυμαζόμενος[8] ἀγαπᾷ καὶ ἀπολαύων[8] ἐν ἡσυχίᾳ τῶν παρόντων. Αἱ δὲ πρὸς ταῦτα τοῦ Μαρίου δικαιολογίαι παντάπασιν ἐφαίνοντο ληρώδεις· ἔφη γὰρ ἐθέλειν τὸν υἱὸν ἀσκῆσαι παρὼν αὐτὸς ἐπὶ στρατείας.

---

[73] wie wenn. — IV. [1] Oberbefehl im (ersten) Krieg mit Mithridates. — [2] wollte — ernannt wissen; zu Konsuln waren bereits L. Cornelius Sulla und Q. Pompejus Rufus erwählt. — [3] τά = die Partei. — [4] als es für einen Mann paßte, als man von einem Manne hätte erwarten sollen, der ... — [5] in, zur Führung der Waffen. — [6] Akk. der nähern Bestimmung: in welcher Hinsicht? — [7] im Deutschen der Konj. — [8] im Deutschen Infinitive.

2. *Ταῦτα τὴν πόλιν ἐκ πολλῶν χρόνων ὕπουλον γεγενημένην καὶ νοσοῦσαν ἀνέρρηξεν, εὐφυέστατον εὑρόντος ὄργανον Μαρίου πρὸς τὸν κοινὸν ὄλεθρον τὸ Σουλπικίου θράσος. Οὗτος ἑξακοσίους μὲν εἶχε περὶ αὑτὸν τῶν ἱππικῶν οἷον δορυφόρους καὶ τούτους ἀντισύγκλητον ὠνόμαζεν, ἀφεθεὶς δὲ εἰς τὸν δῆμον ὑπὸ τοῦ Μαρίου συνετάραξε πάντα τὰ πράγματα βίᾳ καὶ σιδήρῳ. Ἀπραξίας*[9] *οὖν διὰ ταῦτα τῶν ὑπάτων ψηφισαμένων, ἐπαγαγὼν αὐτοῖς ἐκκλησιάζουσιν ὄχλον, ἄλλους τε πολλοὺς καὶ τὸν Πομπηίου τοῦ ὑπάτου υἱὸν ἐπὶ τῆς ἀγορᾶς ἀνεῖλεν· αὐτὸς δὲ Πομπήιος λαθὼν ἔφυγε. Σύλλας δὲ παρὰ τὴν οἰκίαν τοῦ Μαρίου διωκόμενος, οὐδενὸς ἂν προσδοκήσαντος*[10]*, εἰσέπεσε· καὶ τοὺς μὲν διώκοντας ἔλαθε δρόμῳ παρενεχθέντας, ὑπ' αὐτοῦ δὲ Μαρίου λέγεται κατὰ θύρας ἑτέρας ἀσφαλῶς ἀποπεμφθεὶς διεκπεσεῖν εἰς τὸ στρατόπεδον. Γενομένων δὲ τούτων ὅ τε Σουλπίκιος ἤδη κρατῶν ἐπεχειροτόνησε τῷ Μαρίῳ τὴν στρατηγίαν, ὅ τε Μάριος ἐν παρασκευῇ τῆς ἐξόδου καθειστήκει καὶ δύο χιλιάρχους ἐξέπεμψε παραληψομένους*[11] *τὸ Σύλλα στράτευμα. Σύλλας δὲ τοὺς στρατιώτας παροξύνας (ἦσαν δὲ τρισμυρίων καὶ πεντακισχιλίων οὐ μείους ὁπλῖται) προήγαγεν ἐπὶ τὴν Ῥώμην. Τοὺς δὲ χιλιάρχους, οὓς ἔπεμψε Μάριος, προσπεσόντες οἱ στρατιῶται διέφθειραν. Πολλοὺς δὲ καὶ Μάριος ἐν Ῥώμῃ τῶν Σύλλα φίλων ἀνῃρήκει καὶ δούλοις ἐλευθερίαν ἐκήρυττεν ἐπὶ συμμαχίᾳ· λέγονται δὲ τρεῖς μόνοι προσγενέσθαι. Μικρὰ*[12] *δ' ἀντιστὰς εἰσελάσαντι τῷ Σύλλᾳ καὶ ταχέως ἐκβιασθεὶς ἔφυγε.*

Τῶν δὲ περὶ αὐτόν, ὡς πρῶτον ἐξέπεσε τῆς πόλεως, διασπαρέντων, σκότους ὄντος εἴς τι τῶν ἐπαυλίων αὐτοῦ Σολώνιον κατέφυγε. Καὶ τὸν μὲν υἱὸν ἔπεμψεν ἐκ τῶν Μουκίου τοῦ πενθεροῦ χωρίων οὐ μακρὰν ὄντων τὰ ἐπιτήδεια ληψόμενον, αὐτὸς δὲ καταβὰς εἰς Ὠστίαν, φίλου τινὸς Νουμερίου πλοῖον αὐτῷ παρασκευάσαντος, οὐκ ἀνέμεινε τὸν υἱόν, ἀλλὰ Γράνιον ἔχων μεθ' αὑτοῦ τὸν πρόγονον ἐξέπλευσεν. Ὁ δὲ νεανίας, ὡς ἦλθεν εἰς τὰ χωρία τοῦ Μουκίου, λαμβάνων τι καὶ σκευαζόμενος, ἡμέρας κατα-

---

[9] Die Konsuln ordneten Stillstand aller öffentlichen Geschäfte an, damit die von Sulpicius vorgeschlagenen Gesetze nicht könnten vom Volke angenommen werden — [10] Was wohl N. vermuthet hätte. — [11] II. B. Anm. 19. — [12] s. erste Abth. § 24, 1.

λαβούσης οὐ παντάπασι τοὺς πολεμίους ἔλαθεν, ἀλλ' ἦλθον ἱππεῖς ἐλαύνοντες καθ' ὑπόνοιαν ἐπὶ τὸν τόπον· οὓς ὁ τῶν ἀγρῶν ἐπιμελητὴς προϊδὼν ἔκρυπτε τὸν Μάριον ἐν ἁμάξῃ κυάμους ἀγούσῃ καὶ βοῦς ὑποζεύξας ἀπήντα τοῖς ἱππεῦσιν, εἰς πόλιν ἐλαύνων τὴν ἅμαξαν. Οὕτω δὲ πρὸς τὴν οἰκίαν τῆς γυναικὸς ὁ Μάριος διακομισθεὶς καὶ λαβὼν ὅσων ἐδεῖτο νυκτὸς ἐπὶ θάλασσαν ἧκε καὶ νεὼς ἐπιβὰς εἰς Λιβύην πλεούσης διεπέρασεν.

3. Ὁ δὲ πρεσβύτης Μάριος, ὡς ἀνήχθη, πνεύματι εὐφόρῳ κομιζόμενος παρὰ τὴν Ἰταλίαν ἐφοβήθη Γεμίνιόν τινα τῶν ἐν Ταρρακίνῃ δυνατῶν ἐχθρὸν αὐτοῦ, καὶ ταῖς ναύταις προεῖπεν εἴργεσθαι Ταρρακίνης. Οἱ δὲ ἐβούλοντο μὲν αὐτῷ χαρίζεσθαι, τοῦ δὲ πνεύματος εἰς πελάγιον μεθισταμένου, οὔτε τὸ πορθμεῖον ἐδόκει περικλυζόμενον ἀνθέξειν, τοῦ τε Μαρίου κακῶς ἔχοντος ὑπὸ ναυτίας μόλις ἀντιλαμβάνονται τῶν περὶ τὸ Κίρκαιον αἰγιαλῶν. Τοῦ δὲ χειμῶνος αὐξανομένου καὶ τῶν σιτίων ἐπιλιπόντων ἐκβάντες ἐπλάζοντο πρὸς οὐδένα σκοπόν, ἐπεὶ πολεμία μὲν ἐκείνοις ἡ γῆ, πολεμία δὲ ἡ θάλασσα, φοβερὸν δὲ ἦν ἀνθρώποις περιπεσεῖν, φοβερὸν δὲ μὴ περιπεσεῖν δι' ἔνδειαν τῶν ἀναγκαίων.

Οὐ μὴν ἀλλ' ὀψέ που βοτῆρσιν ὀλίγοις ἐντυγχάνουσιν, οἳ δοῦναι μὲν οὐδὲν ἔσχον αὐτοῖς δεομένοις, γνωρίσαντες δὲ τὸν Μάριον ἐκέλευον ἀπαλλάττεσθαι τὴν ταχίστην[13]· ὀλίγον γὰρ ἔμπροσθεν αὐτόθι συχνοὺς ἱππέας ὀφθῆναι διεξελαύνοντας. Ἐν παντὶ δὴ γεγονὼς ἀπορίας[14], μάλιστα δὲ νηστείᾳ τῶν περὶ αὐτὸν ἀπαγορευόντων, τότε μὲν ἐκτραπόμενος τῆς ὁδοῦ καὶ καταβαλὼν ἑαυτὸν εἰς ὕλην βαθεῖαν ἐπιπόνως διενυκτέρευσε.

Τῇ δ' ὑστεραίᾳ συνηγμένος ὑπ' ἐνδείας ἐχώρει παρὰ τὸν αἰγιαλὸν ἐπιθαρσύνων τοὺς ἑπομένους καὶ δεόμενος μὴ προαποκάμνειν τῆς τελευταίας ἐλπίδος, ἐφ' ἣν ἑαυτὸν φυλάττει, μαντεύμασι παλαιοῖς πιστεύων. Νέος γὰρ ὢν ἔτι παντελῶς ὑποδέξασθαι τῷ ἱματίῳ καταφερομένην ἀετοῦ νεοττιὰν ἑπτὰ νεοττοὺς ἔχουσαν· ἰδόντας τὲ τοὺς γονεῖς καὶ θαυμάσαντας διαπυνθάνεσθαι τῶν μάντεων· τοὺς δὲ εἰπεῖν, ὡς ἐπιφανέστατος ἀνθρώπων ἔσοιτο καὶ τὴν μεγίστην ἡγεμονίαν καὶ ἀρχὴν ἑπτάκις αὐτὸν λαβεῖν ἀναγκαῖον εἴη.

---

[13] ergänze ὁδόν, schleunigst. — [14] ἐν παντὶ ἀπορίας = ἐν πάσῃ ἀπορίᾳ.

4. Ἤδη δὲ Μιντούρνης, πόλεως Ἰταλικῆς, ὅσον εἴκοσι σταδίων ἀπέχοντες ὁρῶσιν ἱππέων ἴλην πρόσωθεν ἐλαύνουσαν ἐπ' αὐτοὺς καὶ κατὰ τύχην ὁλκάδας δύο φερομένας. Ὡς οὖν ἕκαστος ποδῶν[15] εἶχε καὶ ῥώμης καταδραμόντες ἐπὶ τὴν θάλασσαν καὶ καταβαλόντες ἑαυτούς, προσενήχοντο ταῖς ναυσί. Καὶ λαβόμενοι τῆς ἑτέρας οἱ περὶ τὸν Γράνιον διεπέρασαν εἰς τὴν ἀντικρὺς νῆσον· αὐτὸν δὲ Μάριον βαρὺν ὄντα τῷ σώματι[16] καὶ δυσμεταχείριστον οἰκέται δύο μόλις καὶ χαλεπῶς ὑπὲρ τῆς θαλάττης ἐξάραντες εἰς τὴν ἑτέραν ἔθεντο ναῦν, ἤδη τῶν ἱππέων ἐφεστώτων καὶ διακελευομένων ἀπὸ γῆς τοῖς ναύταις κατάγειν τὸ πλοῖον ἢ τὸν Μάριον ἐκβαλόντας αὐτοὺς ἀποπλεῖν, ὅπῃ χρῄζοιεν. Ἱκετεύοντος δὲ τοῦ Μαρίου καὶ δακρύοντος οἱ κύριοι τῆς ὁλκάδος ὡς ἐν ὀλίγῳ[17] πολλὰς ἐπ' ἀμφότερα[18] τῆς γνώμης τροπὰς λαβόντες, ὅμως ἀπεκρίναντο τοῖς ἱππεῦσι μὴ προέσθαι τὸν Μάριον. Ἐκείνων δὲ πρὸς ὀργὴν ἀπελασάντων, αὖθις ἑτέρων γενόμενοι λογισμῶν[19] κατεφέροντο πρὸς τὴν γῆν· καὶ περὶ τὰς ἐκβολὰς τοῦ Λίριος ποταμοῦ διάχυσιν λιμνώδη λαμβάνοντος ἀγκύρας βαλόμενοι, παρεκάλουν αὐτὸν ἐκβῆναι καὶ τροφὴν ἐπὶ γῆς λαβεῖν καὶ τὸ σῶμα θεραπεῦσαι κεκακωμένον, ἄχρι οὗ φορὰ γένηται. Ταῦτα πεισθεὶς ὁ Μάριος ἔπραττε· καὶ τῶν ναυτῶν ἐξελομένων αὐτὸν ἐπὶ τὴν γῆν, κατακλινεὶς ἔν τινι πόᾳ πορρωτάτω τοῦ μέλλοντος εἶχε τὴν διάνοιαν[20]. Οἱ δὲ εὐθὺς ἐπιβάντες ἐπὶ τὴν ναῦν καὶ τὰς ἀγκύρας ἀναλαβόντες ἔφευγον.

Οὕτω δὴ πάντων ἔρημος ἀπολειφθεὶς πολὺν μὲν χρόνον ἄφωνος ἐπὶ τῆς ἀκτῆς ἔκειτο, μόλις δέ πως ἀναλαβὼν ἑαυτὸν ἐπορεύετο ταλαιπώρως ἀνοδίαις[21] καὶ διεξελθὼν ἕλη βαθέα καὶ τάφρους ὕδατος καὶ πηλοῦ γεμούσας ἐπιτυγχάνει καλύβῃ λιμνουργοῦ γέροντος, ὃν περιπεσὼν ἱκέτευε γενέσθαι σωτῆρα καὶ βοηθὸν ἀνδρός, εἰ διαφύγοι τὰ παρόντα, μείζονας ἐλπίδων ἀμοιβὰς ἀποδώσοντος. Ὁ δὲ ἄνθρωπος ἀναπαύσασθαι μὲν ἔφη δεομένῳ[22]

[15] *ποδῶν* ist von *ὡς* abhängig; so schnell einem Jeden die Füße und die Kräfte es erlaubten. — [16] Dat. der nähern Bestimmung. — [17] für die Kürze der Zeit; *ὡς* gibt oft den Maßstab für ein ausgesprochenes Urtheil an, wie ut. — [18] nach beiden Seiten hin, dafür und dagegen. — [19] andern Sinnes geworden. — [20] hatte nicht die entfernteste Ahnung von … — [21] Dat. instrum. zu *ἐπορεύετο*. — [22] mit falls aufzulösen.

τὸ σκηνύδριον ἐξαρκεῖν, εἰ δέ τινας ὑποφεύγων πλάζοιτο, κρύψειν αὐτὸν ἐν τόπῳ μᾶλλον ἡσυχίαν ἔχοντι. Τοῦ δὲ Μαρίου δεηθέντος τοῦτο ποιεῖν, ἀγαγὼν αὐτὸν εἰς τὸ ἕλος καὶ πτῆξαι κελεύσας ἐν χωρίῳ κοίλῳ παρὰ τὸν ποταμόν, ἐπέβαλε τῶν τε καλάμων πολλοὺς καὶ ἄλλην ἐπιφέρων ὕλην κούφην.

5. Χρόνου δὲ οὐ πολλοῦ διαγενομένου ψόφος αὐτῷ καὶ θόρυβος ἀπὸ τῆς καλύβης προσέπεσεν. Ὁ γὰρ Γεμίνιος ἐκ Ταρρακίνης ἔπεμψε πολλοὺς ἐπὶ τὴν δίωξιν, ὧν ἔνιοι κατὰ τύχην ἐκεῖ προσελθόντες ἐξεφόβουν καὶ κατεβόων τοῦ γέροντος ὡς[23] ὑποδεδεγμένου πολέμιον Ῥωμαίων. Ἐξαναστὰς οὖν ὁ Μάριος καὶ ἀποδυσάμενος καθῆκεν ἑαυτὸν εἰς τὴν λίμνην ὕδωρ παχὺ καὶ τελματῶδες ἔχουσαν. Ὅθεν οὐ διέλαθε τοὺς ζητοῦντας, ἀλλ' ἀνασπασθεὶς εἰς Μιντούρνας ἀνήχθη καὶ παρεδόθη τοῖς ἄρχουσιν. Ἦν γὰρ εἰς ἅπασαν ἤδη πόλιν ἐξενηνεγμένον παράγγελμα περὶ τοῦ Μαρίου δημοσίᾳ διώκειν καὶ ἀποκτείνειν. Ὅμως δὲ βουλεύσασθαι πρότερον ἐδόκει τοῖς ἄρχουσι· καὶ κατατίθενται τὸν Μάριον εἰς οἰκίαν Φαννίας γυναικὸς οὐκ εὐμενῶς δοκούσης ἔχειν πρὸς αὐτὸν ἐξ αἰτίας παλαιᾶς. Οὐ μὴν ἥ γε Φαννία τότε πάθος γυναικὸς ἠδικημένης ἔλαβεν, ἀλλ' ὡς εἶδε τὸν Μάριον, πορρωτάτω γενομένη τοῦ μνησικακεῖν, ἐκ[24] τῶν παρόντων ἐπεμελεῖτο καὶ παρεθάρρυνεν αὐτόν.

6. Βουλευομένοις δὲ τοῖς ἄρχουσι καὶ συνέδροις τῶν Μιντουρνησίων ἔδοξε μὴ μέλλειν, ἀλλὰ διαχρήσασθαι τὸν ἄνδρα. Καὶ τῶν μὲν πολιτῶν οὐδεὶς ὑπέστη τὸ ἔργον, ἱππεὺς δὲ Γαλάτης τὸ γένος ἢ Κίμβρος (ἀμφοτέρως γὰρ ἱστορεῖται) λαβὼν ξίφος ἐπεισῆλθεν αὐτῷ. Τοῦ δὲ οἰκήματος ἐν ᾧ ἔτυχε μέρει[25] κατακείμενος οὐ πάνυ λαμπρὸν φῶς ἔχοντος, ἀλλ' ὄντος ἐπισκίου, λέγεται τὰ μὲν ὄμματα τοῦ Μαρίου φλόγα πολλὴν ἐκβάλλοντα τῷ στρατιώτῃ φανῆναι, φωνὴν δὲ μεγάλην γενέσθαι „Σὺ δὴ τολμᾷς, ἄνθρωπε, Γάιον Μάριον ἀνελεῖν;“ Ἐξῆλθεν οὖν εὐθὺς ὁ βάρβαρος φυγῇ[26] καὶ τὸ ξίφος καταβαλὼν ἐχώρει διὰ θυρῶν τοῦτο μόνον βοῶν „Οὐ δύναμαι Γάιον Μάριον ἀποκτεῖναι.“ Πάντας οὖν ἔκπληξις ἔσχεν, εἶτα οἶκτος καὶ μετάνοια τῆς γνώ-

---

[23] daß er — habe. — [24] so weit es die Umstände erlaubten. — [25] für ἐν τῷ μέρει, ἐν ᾧ ἔτυχε κατακείμενος. — [26] Dat. instrum.; flüchtete hinaus.

μης καὶ κατάμεμψις ἑαυτῶν, ὡς[27] *βούλευμα βεβουλευκότων ἄνομον καὶ ἀχάριστον ἐπ' ἀνδρὶ σωτῆρι τῆς Ἰταλίας, ᾧ μὴ βοηθῆσαι*[28] *δεινὸν ἦν. Ὑπὸ*[29] *τοιούτων λογισμῶν εἰσπεσόντες ἀθρόοι καὶ περισχόντες αὐτὸν ἐξῆγον ἐπὶ τὴν θάλασσαν. Ἄλλου δὲ ἄλλο*[30] *τι προθύμως ὑπηρετοῦντος*[31] *καὶ σπευδόντων ἁπάντων ἐγίνετο τριβὴ τοῦ χρόνου. Τὸ γὰρ τῆς λεγομένης Μαρίκας*[32] *ἄλσος ἐμποδὼν ἦν τῆς ἐπὶ θάλασσαν ὁδοῦ καὶ κύκλῳ περιϊόντας ἔδει*[33] *βραδύνειν, ἄχρι οὗ τῶν πρεσβυτέρων τις ἐκβοήσας ἔφη μηδεμίαν ἄβατον μηδ' ἀπόρευτον ὁδὸν εἶναι, δι' ἧς σώζεται Μάριος. Καὶ πρῶτος αὐτὸς λαβών τι τῶν κομιζομένων*[34] *ἐπὶ ναῦν διὰ τοῦ τόπου διεξῆλθε.*

7. *Τοιαύτῃ προθυμίᾳ ταχὺ πάντων συμπορισθέντων καὶ Βηλαίου τινὸς ναῦν παρασχόντος, ὁ Μάριος ἀνήχθη, καὶ ἐφέρετό πως κατὰ τύχην πρὸς Αἰναρίαν τὴν νῆσον, ὅπου τὸν Γράνιον καὶ τοὺς ἄλλους φίλους εὑρὼν ἔπλει μετ' αὐτῶν ἐπὶ Λιβύης. Ὕδατος δὲ ἐπιλιπόντος αὐτοὺς ἀναγκαίως Σικελίᾳ κατὰ τὴν Ἐρυκίνην προσέσχον. Ἔτυχε δὲ περὶ τοὺς τόπους ἐκείνους ὁ Ῥωμαίων ταμίας παραφυλάσσων, καὶ μικροῦ*[35] *μὲν αὐτὸν ἀποβάντα τὸν Μάριον εἷλεν*[35]*, ἀπέκτεινε δὲ περὶ ἑκκαίδεκα τῶν ὑδρευομένων.*

Μάριος δὲ κατὰ σπουδὴν ἀναχθεὶς καὶ διαπεράσας τὸ πέλαγος πρὸς Μήνιγγα τὴν νῆσον, ἐνταῦθα διαπυνθάνεται πρῶτον, ὡς ὁ παῖς αὐτοῦ διασέσωσται μετὰ Κεθήγου καὶ πορεύονται πρὸς τὸν βασιλέα τῶν Νομάδων Ἰάμψαν δεησόμενοι[36] *βοηθεῖν. Ἐφ' οἷς μικρὸν ἀναπνεύσας ἐθάρρησεν ἀπὸ τῆς νήσου πρὸς τὴν Καρχηδονίαν προσβαλεῖν. Ἐστρατήγει δὲ τῆς Λιβύης τότε Σεξτίλιος, ἀνὴρ Ῥωμαῖος, ἄρτι δὲ αὐτοῦ μετ' ὀλίγων ἀποβεβηκότος ὑπηρέτης ἀπήντησε καὶ καταστὰς ἐναντίον εἶπεν „Ἀπαγορεύει σοι Σεξτίλιος ὁ στρατηγός, ὦ Μάριε, Λιβύης ἐπιβαίνειν· εἰ δὲ μή, φησὶν ἀμυνεῖν τοῖς τῆς βουλῆς δόγμασιν, ὡς Ῥωμαίων πολεμίῳ χρώμενος." Ταῦτα ἀκούσαντα τὸν Μάριον ὑπὸ λύπης καὶ βαρυθυμίας ἀπορία λόγων ἔσχε, καὶ πολὺν χρόνον ἡσυχίαν ἦγε δεινὸν*[37]

---

[27] in der Erkenntniß, daß sie — hätten. — [28] auch nur Hülfe zu verweigern. — [29] unter dem Einflusse. — [30] der eine dieß, der andere jenes. — [31] mit während aufzulösen. — [32] eine Ufergöttin der Minturnenser. — [33] sie hätten — sollen. — [34] was gebracht werden sollte. — [35] nahezu hätte er .... — [36] s. II. B. Anm. 19. — [37] s. erste Abth. § 24. 1.

εἰς τὸν ὑπηρέτην ἀποβλέπων. Ἐρομένου δὲ ἐκείνου, τί φράζει καὶ τί λέγει πρὸς τὸν στρατηγόν, ἀπεκρίνατο μέγα[37] στενάξας „Ἄγγελλε τοίνυν, ὅτι Γάιον Μάριον ἐν τοῖς Καρχηδόνος ἐρειπίοις φυγάδα καθεζόμενον εἶδες," οὐ κακῶς ἅμα τήν τε τῆς πόλεως ἐκείνης τύχην καὶ τὴν ἑαυτοῦ μεταβολὴν ἐν παραδείγματος λόγῳ θέμενος.

Ἐν τούτῳ δὲ Ἰάμψας ὁ βασιλεὺς τῶν Νομάδων ἐπαμφοτερίζων τοῖς λογισμοῖς ἐν τιμῇ μὲν ἦγε τοὺς περὶ τὸν νέον Μάριον, ἀπιέναι δὲ βουλομένους[38] ἔκ τινος ἀεὶ προφάσεως κατεῖχε, τέλος δὲ ἀπέδρα μετὰ τῶν φίλων καὶ διέφυγε πρὸς τὸν Μάριον. Ἐπεὶ δὲ ἀλλήλους ἠσπάσαντο, πορευόμενοι παρὰ τὴν θάλασσαν ἐντυγχάνουσι σκορπίοις μαχομένοις· καὶ τὸ σημεῖον ἐφάνη τῷ Μαρίῳ πονηρόν. Εὐθὺς οὖν ἁλιάδος ἐπιβάντες εἰς Κέρκιναν διεπέρων, νῆσον ἀπέχουσαν οὐ πολὺ τῆς ἠπείρου· καὶ τοσοῦτον ἔφθασαν, ὅσον[39] ἀνηγμένων αὐτῶν ἱππεῖς ὁρᾶσθαι παρὰ τοῦ βασιλέως ἐλαύνοντας ἐπὶ τὸν τόπον, ὅθεν ἀνήχθησαν.

8. Ἐν δὲ Ῥώμῃ Σύλλας μὲν ἠκούετο[40] τοῖς Μιθριδάτου πολεμεῖν στρατηγοῖς περὶ Βοιωτίαν· οἱ δὲ ὕπατοι[41] στασιάσαντες ἐχώρουν εἰς ὅπλα. Καὶ μάχης γενομένης Ὀκτάβιος μὲν κρατήσας ἐξέβαλε Κίνναν ἐπιχειροῦντα τυραννικώτερον ἄρχειν καὶ κατέστησεν ἀντ' αὐτοῦ Κορνήλιον Μερούλλαν ὕπατον, ὁ δὲ Κίννας ἐκ τῆς ἄλλης Ἰταλίας συναγαγὼν δύναμιν αὖθις διεπολέμει πρὸς αὐτούς. Ταῦτα τῷ Μαρίῳ πυνθανομένῳ πλεῦσαι τὴν ταχίστην ἐδόκει· καὶ παραλαβὼν ἐκ τῆς Λιβύης Μαυρουσίων τινὰς ἱππότας καὶ τῶν ἀπὸ τῆς Ἰταλίας τινὰς καταφερομένων, συναμφοτέρους οὐ πλείονας χιλίων γενομένους, μεθ' ὧν ἀνήχθη, προσβαλὼν Τελαμῶνι τῆς[42] Τυρρηνίας καὶ ἀποβὰς ἐκήρυττε δούλοις ἐλευθερίαν· καὶ τῶν αὐτόθι γεωργούντων καὶ νεμόντων ἐλευθέρων διὰ δόξαν αὐτοῦ συντρεχόντων ἐπὶ τὴν θάλασσαν, ἀναπείθων τοὺς ἀκμαιοτάτους, ἐν ἡμέραις ὀλίγαις χεῖρα μεγάλην ἤθροισε καὶ τεσσαράκοντα ναῦς ἐπλήρωσεν.

---

[38] mit obgleich aufzulösen. — [39] nach τοιοῦτον und τοσοῦτος steht anstatt ὥστε, häufig ὅσος mit Infin.; übersetze: und dabei hatte es sich um so wenige Augenblicke gehandelt, daß ... — [40] ἀκούω im Passiv persönlich konstruiert. — [41] Cn. Octavius und Cn. Cornelius Cinna waren noch vor Sulla's Abreise zu Konsuln für 87 erwählt worden. — [42] s. III. Anm. 51.

Εἰδὼς δὲ τὸν μὲν Ὀκτάβιον ἄριστον ἄνδρα καὶ τῷ δικαιοτάτῳ τρόπῳ βουλόμενον[43] *ἄρχειν, τὸν δὲ Κίνναν ὕποπτόν τε τῷ Σύλλᾳ καὶ πολεμοῦντα τῇ καθεστώσῃ πολιτείᾳ, τούτῳ προσνέμειν ἑαυτὸν ἔγνω μετὰ τῆς δυνάμεως. Ἔπεμψεν οὖν ἐπαγγελλόμενος ὡς ὑπάτῳ*[44] *πάντα ποιήσειν τὰ προστασσόμενα. Δεξαμένου δὲ τοῦ Κίννα καὶ προσαγορεύσαντος αὐτὸν ἀνθύπατον, ῥάβδους δὲ καὶ τἆλλα παράσημα τῆς ἀρχῆς ἀποστείλαντος, οὐκ ἔφη πρέπειν αὐτοῦ ταῖς τύχαις τὸν κόσμον, ἀλλ' ἐσθῆτι φαύλῃ κεχρημένος καὶ κομῶν ἀφ' ἧς ἔφυγεν ἡμέρας*[45]*, ὑπὲρ ἑβδομήκοντα γεγονὼς*[46] *ἔτη βάδην προῄει, βουλόμενος ἐλεεινὸς εἶναι.*

9. *Ἀσπασάμενος δὲ τὸν Κίνναν καὶ τοῖς στρατιώταις ἐντυχὼν εὐθὺς εἴχετο τοῦ ἔργου καὶ μεγάλην μεταβολὴν τῶν πραγμάτων ἐποίησε. Πρῶτον μὲν γὰρ ταῖς ναυσὶ τὰ σιτηγὰ περικόπτων καὶ τοὺς ἐμπόρους ληιζόμενος ἐκράτησε τῆς ἀγορᾶς. Ἔπειτα τὰς παραλίους πόλεις ἐπιπλέων ᾕρει. Τέλος δὲ τὴν Ὠστίαν αὐτὴν λαβὼν ἐκ προδοσίας, τά τε χρήματα διήρπασε καὶ τῶν ἀνθρώπων τοὺς πολλοὺς ἀπέκτεινε. Μετὰ ταῦτα ἄρας τῷ στρατῷ*[47] *πρὸς τὴν πόλιν*[48] *ἐχώρει καὶ τὸ καλούμενον Ἰανοῦκλον ὄρος κατέσχεν, οὐ τοσοῦτον ἀπειρίᾳ τοῦ Ὀκταβίου τὰ πράγματα βλάπτοντος*[49]*, ὅσον ἀκριβείᾳ τῶν δικαίων προϊεμένου τὰ συμφέροντα. Ἐπεὶ δὲ Μέτελλος*[50] *υἱὸς Μετέλλου τοῦ στρατηγήσαντος ἐν Λιβύῃ ἧκεν εἰς Ῥώμην, καταλιπόντες οἱ στρατιῶται τὸν Ὀκτάβιον ἧκον ὡς ἐκεῖνον ἄρχειν δεόμενοι καὶ σῴζειν τὴν πόλιν· εὖ γὰρ ἀγωνιεῖσθαι καὶ κρατήσειν, ἔμπειρον ἡγεμόνα καὶ δραστήριον λαβόντες*[51]*. Ἀγανακτήσαντος δὲ τοῦ Μετέλλου καὶ κελεύοντος ἀπιέναι πρὸς τὸν ὕπατον, ᾤχοντο πρὸς τοὺς πολεμίους. Ὑπεξέστη δὲ καὶ Μέτελλος ἀπογνοὺς τὴν πόλιν.*

10. *Οὕτω δὴ τῶν πραγμάτων ἐχόντων ἡ βουλὴ συνελθοῦσα πρέσβεις ἐξέπεμψε πρὸς Κίνναν καὶ Μάριον, εἰσιέναι καὶ φείδεσθαι δεομένη τῶν πολιτῶν. Κίννας μὲν οὖν ὡς ὕπατος ἐπὶ τοῦ δίφρου καθήμενος ἐχρημάτιζε καὶ φιλανθρώπους ἀποκρίσεις ἔδωκε*

---

[43] s. erste Abth. § 50a. 1. — [44] ihm, als dem Konsul = indem er ihn als Konsul anerkannte. — [45] für *ἀπὸ τῆς ἡμέρας, ἀφ' ἧς*. — [46] trotz seiner siebenzig Jahre. — [47] womit? — [48] d. i. Rom. — [49] mit während aufzulösen. — [50] Der Senat hatte den Metellus, der gerade gegen die Samniter kämpfte, gerufen. — [51] mit sobald aufzulösen.

τοῖς πρέσβεσι, Μάριος δὲ τῷ δίφρῳ παρειστήκει φθεγγόμενος μὲν οὐδέν, ὑποδηλῶν δὲ ἀεὶ τῇ βαρύτητι τοῦ προσώπου καὶ τῇ στυγνότητι τοῦ βλέμματος ὡς[52] εὐθὺς ἐμπλήσων φόνων τὴν πόλιν. Ἐπεὶ δὲ ἀναστάντες ἐβάδιζον, Κίννας μὲν εἰσῄει δορυφορούμενος, Μάριος δὲ παρὰ ταῖς πύλαις ὑποστὰς εἰρωνεύετο πρὸς ὀργήν[53], φυγὰς εἶναι λέγων καὶ τῆς πατρίδος εἴργεσθαι κατὰ τὸν νόμον· εἰ δὲ χρῄζοι τις αὐτοῦ παρόντος[54], ἑτέρᾳ ψήφῳ λυτέον εἶναι τὴν ἐκβάλλουσαν[55].

Ἐκάλει δὴ τὸ πλῆθος εἰς ἀγοράν· καὶ πρὸ τοῦ[56] τρεῖς ἢ τέτταρας φυλὰς ἐνεγκεῖν τὴν ψῆφον ἀφεὶς τὸ πλάσμα κατῄει δορυφόρους ἔχων, λογάδας ἐκ τῶν προσπεφοιτηκότων δούλων, οὓς Βαρδυαίους προσηγόρευσεν. Οὗτοι πολλοὺς μὲν ἀπὸ φωνῆς[57], πολλοὺς δὲ ἀπὸ νεύματος ἀνῄρουν προστάσσοντος αὐτοῦ· καὶ τέλος Ἀγχάριον, ἄνδρα βουλευτὴν καὶ στρατηγικόν, ἐντυγχάνοντα τῷ Μαρίῳ καὶ μὴ προσαγορευθέντα καταβάλλουσιν ἔμπροσθεν αὐτοῦ ταῖς μαχαίραις τύπτοντες. Ἐκ δὲ τούτου καὶ τῶν ἄλλων ὅσους ἀσπασαμένους μὴ προσαγορεύσειε[58] μηδὲ ἀντασπάσαιτο, τοῦτο αὐτὸ[59] σύμβολον ἦν ἀποσφάττειν εὐθὺς ἐν ταῖς ὁδοῖς.

Καὶ πᾶσα μὲν ὁδός, πᾶσα δὲ πόλις τῶν διωκόντων τοὺς ὑποφεύγοντας καὶ κεκρυμμένους ἔγεμεν. Ἠλέγχετο δὲ καὶ ξενίας καὶ φιλίας πίστις οὐδὲν ἔχουσα[60] παρὰ τὰς τύχας βέβαιον. Ἄξιον οὖν ἄγασθαι καὶ θαυμάσαι τοὺς τοῦ Κορνούτου θεράποντας, οἳ τὸν δεσπότην ἀποκρύψαντες οἴκοι, νεκρόν τινα τῶν πολλῶν ἀνήρτησαν ἐκ[61] τοῦ τραχήλου, καὶ περιθέντες αὐτῷ χρυσοῦν δακτύλιον ἐπεδείκνυον τοῖς Μαρίου δορυφόροις καὶ κοσμήσαντες ὡς ἐκεῖνον[62] αὐτὸν ἔθαπτον. Ὑπενόησε δὲ οὐδείς, ἀλλ' οὕτω λαθὼν ὁ Κορνοῦτος ὑπὸ τῶν οἰκετῶν εἰς Γαλατίαν διεκομίσθη.

11. Χρηστῷ δὲ καὶ Μάρκος Ἀντώνιος ὁ ῥήτωρ φίλῳ χρησάμενος ἠτύχησεν. Ὁ γὰρ ἄνθρωπος ἦν μὲν πένης καὶ δημοτικός, ὑποδεξάμενος δὲ πρῶτον ἄνδρα Ῥωμαίων καὶ φιλοφρονούμενος ἐκ τῶν παρόντων[63], οἰκέτην ἔπεμψε πρός τινα τῶν ἐγγὺς

---

[52] daß er — werde. — [53] in seinem Grimme. — [54] brauche man seine Gegenwart. — [55] nämlich ψῆφον. — [56] πρὸ τοῦ ἐνεγκεῖν ehe noch — hatten. — [57] auf mündlichen Befehl hin. — [58] s. erste Abth. § 45a. 2. — [59] schon dieß als Zeichen. — [60] s. erste Abth. § 50a. 1. — [61] am. — [62] als ob jener es sei. — [63] s. Anm. 24.

καπήλων λῃψόμενον[64] οἶνον. Διαγευομένου δὲ ἐπιμελέστερον καὶ βελτίονα μετρῆσαι κελεύοντος, ἠρώτησεν ὁ κάπηλος, ὅ,τι παθὼν οὐχὶ τὸν νέον, ὥσπερ εἰώθεν, ὠνεῖται καὶ δημοτικόν, ἀλλὰ τοῦ σπουδαίου καὶ πολυτελοῦς. Ἁπλῶς δέ πως ἐκείνου φράσαντος ὡς[65] πρὸς συνήθη καὶ γνώριμον, ὅτι Μάρκον Ἀντώνιον ὁ δεσπότης ἑστιᾷ παρ᾽ αὐτῷ κρυπτόμενον, ἀσεβὴς καὶ μιαρὸς ὢν ὁ κάπηλος συνέτεινε πρὸς Μάριον ἤδη περὶ δεῖπνον ὄντα, καὶ προσαχθεὶς ὡμολόγησε παραδώσειν αὐτῷ τὸν Ἀντώνιον. Ἀκούσας οὖν ἐκεῖνος ἐκκραγεῖν λέγεται μέγα[66] καὶ ταῖς χερσὶν ὑφ᾽ ἡδονῆς ἀνακροτῆσαι· καὶ μικροῦ[67] μὲν ἐξαναστὰς αὐτὸς ἐπὶ τὸν τόπον ἠνέχθη· τῶν δὲ φίλων κατασχόντων Ἄννιον ἔπεμπε καὶ στρατιώτας μετ᾽ αὐτοῦ κελεύσας κατὰ τάχος τὴν κεφαλὴν τοῦ Ἀντωνίου κομίζειν. Ὡς οὖν ἧκον ἐπὶ τὴν οἰκίαν, ὁ μὲν Ἄννιος ὑπέστη παρὰ τὰς θύρας, οἱ δὲ στρατιῶται διὰ κλιμάκων ἀναβάντες εἰς τὸ δωμάτιον καὶ θεασάμενοι τὸν Ἀντώνιον ἄλλος ἄλλον ἐπὶ τὴν σφαγὴν ἀνθ᾽ ἑαυτοῦ παρεκάλει καὶ προὐβάλλετο. Τοιαύτη δε τις ἦν, ὡς ἔοικε, τοῦ ἀνδρὸς ἡ τῶν λόγων χάρις, ὥστε ἀρξαμένου λέγειν καὶ παραιτεῖσθαι τὸν θάνατον, ἅψασθαι μὲν οὐδεὶς ἐτόλμησεν οὐδὲ ἀντιβλέψαι, κάτω δὲ κύψαντες ἐδάκρυον ἅπαντες. Διατριβῆς δὲ γενομένης ἀναβὰς ὁ Ἄννιος ὁρᾷ τὸν μὲν Ἀντώνιον διαλεγόμενον, τοὺς δὲ στρατιώτας ἐκπεπληγμένους καὶ κατακεκηλημένους ὑπ᾽ αὐτοῦ· κακίσας οὖν ἐκείνους καὶ προσδραμὼν αὐτὸς ἀποτέμνει τὴν κεφαλήν.

Κάτλος δὲ Λουτάτιος Μαρίῳ συνάρξας καὶ συνθριαμβεύσας ἀπὸ Κίμβρων, ἐπεὶ πρὸς τοὺς δεομένους ὑπὲρ αὐτοῦ καὶ παραιτουμένους ὁ Μάριος τοσοῦτον μόνον εἶπεν „Ἀποθανεῖν δεῖ“ κατακλεισάμενος εἰς οἴκημα καὶ πολλοὺς ἄνθρακας ἐκζωπυρήσας ἀπεπνίγη.

12. Ἐν τούτῳ δὲ ὥσπερ τροπαίας τινὸς ἀμειβούσης ἐφοίτων ἄγγελοι πανταχόθεν, ὡς Σύλλας συνῃρηκὼς τὸν Μιθριδατικὸν πόλεμον καὶ τὰς ἐπαρχίας ἀνειληφὼς ἐπιπλέοι μετὰ πολλῆς δυνάμεως. Καὶ τοῦτο βραχεῖαν ἐπίσχεσιν ἐποίησε καὶ παῦλαν ὀλίγην ἀφάτων κακῶν, ὅσον οὔπω[68] τὸν πόλεμον ἥκειν ἐπ᾽ αὐτοὺς οἰομένων[69]. Ὕπατος μὲν οὖν ἀπεδείχθη τὸ ἕβδομον Μάριος.

---

[64] s. II. B. Anm. 19. — [65] als. — [66] laut; s. erste Abth. § 24. 1. — [67] nahezu wäre er — gestürzt. — [68] ὅσον οὔπω in nächster Zeit. — [69] indem man glaubte.

Ἤδη δὲ τοῖς τε πόνοις ἀπειρηκὼς καὶ ταῖς φροντίσιν, τὴν ψυχὴν πρὸς τοσαύτην αὖθις ἐπίνοιαν νέου πολέμου καὶ καινῶν ἀγώνων τρέμουσαν οὐκ ἀνέφερε λογιζόμενος, ὡς οὐ πρὸς Ὀκτάβιον οὐδὲ Μερούλλαν ὁ κίνδυνος ἔσοιτο, ἀλλὰ Σύλλας ἔπεισιν ὁ τῆς πατρίδος αὐτὸν ἐξελάσας πάλαι, νῦν δὲ Μιθριδάτην συνεσταλκὼς εἰς τὸν Εὔξεινον Πόντον. Ὑπὸ τοιούτων θραυόμενος λογισμῶν εἰς ἀπορίας ἐνέπιπτε δεινὰς καὶ νυκτερινὰ δείματα καὶ ταραχώδεις ὀνείρους, ἀεί τινος ἀκούειν φθεγγομένου δοκῶν

„Δειναὶ γὰρ κοῖται καὶ ἀποιχομένοιο λέοντος.“[70]

Μάλιστα δὲ πάντων φοβούμενος τὰς ἀγρυπνίας ἐνέβαλεν εἰς πότους ἑαυτὸν ὥσπερ[71] *ἀπόδρασιν τῶν φροντίδων τὸν ὕπνον μηχανώμενος. Τέλος δὲ ὡς ἧκέ τις ἀπαγγέλλων ἀπὸ θαλάσσης, τὰ μὲν*[72] *δέει τοῦ μέλλοντος, τὰ δὲ ὥσπερ ἄχθει καὶ κόρῳ τῶν παρόντων, ῥοπῆς βραχείας ἐπιγενομένης περιέπεσε πλευρίτιδι. Τινὲς δὲ τὴν φιλοτιμίαν αὐτοῦ φασιν ἐν τῇ νόσῳ παντάπασιν ἀποκαλυφθεῖσαν εἰς ἄτοπον ἐξοκεῖλαι παρακοπήν, οἰομένου*[73] *τὸν Μιθριδατικὸν στρατηγεῖν πόλεμον, εἶτα, ὥσπερ ἐπ' αὐτῶν εἰώθει τῶν ἀγώνων, σχήματα παντοδαπὰ καὶ κινήματα σώματος μετὰ συντόνου κραυγῆς καὶ πυκνῶν ἀλαλαγμάτων ἀποδιδόντος. Καὶ ἔτη μὲν ἑβδομήκοντα βεβιωκώς, ὑπατεύσας δὲ ἑπτάκις οἶκόν τε καὶ πλοῦτον ἀρκοῦντα βασιλείαις ὁμοῦ πολλαῖς*[74] *κεκτημένος ὠδύρετο τὴν ἑαυτοῦ τύχην ὡς*[75] *ἐνδεὴς καὶ ἀτελὴς ων ἐπόθει προαποθνήσκων.*

V. Die Verschwörung gegen Cäsar.

(Nach Plutarch.)

1. *Καῖσαρ ἀπιὼν μετὰ τὴν περὶ Μοῦνδαν μάχην, πρὸς τοὺς φίλους εἶπεν, ὡς πολλάκις μὲν ἀγωνίσαιτο περὶ νίκης, νῦν δὲ πρῶτον περὶ ψυχῆς. Οὐ μὴν ἀλλὰ εἵλετο ἂν*[1] *ἐκεῖ που ἐν τῇ τοῦ πολέμου δόξῃ πεπτωκέναι μᾶλλον ἤ, ὅπερ οὐκ ἐς μακρὰν*[2]

---

[70] Vers eines unbekannten Dichters; *ἀποιχομένοιο = ἀποιχομένου.* — [71] gleichsam. — [72] theils. — [73] mit indem aufzulösen. — [74] für wen? — [75] daß er sterben müsse. — **V.** [1] Conditionalis der Vergangenheit. — [2] in nicht gar langer Zeit.

ἔπαθεν, ἔν τε τῇ πατρίδι καὶ ἐν τῷ συνεδρίῳ ὑπὸ τῶν φιλτάτων σφαγῆναι.

Τοῦτον γὰρ τὸν πόλεμον ἔσχατον[3] κατώρθωσε, καίπερ οὐδὲν ὅ,τι οὐχὶ[4] καὶ τῶν ἄλλων τῶν μεγίστων καταπράξειν ἐλπίσας διά τε τἄλλα, καὶ οὐχ ἥκιστα, ὅτι βλαστός τις ἐκ φοίνικος ἐν τῷ τῆς μάχης χωρίῳ ὄντος εὐθὺς ἐπὶ τῇ νίκῃ ἐξέφυ.

Οἱ δὲ Ῥωμαῖοι τῶν ἐμφυλίων πολέμων καὶ κακῶν ἀναπνοὴν ἡγούμενοι τὴν μοναρχίαν, δικτάτορα μὲν αὐτὸν ἀπέδειξαν διὰ βίου[5], τιμὰς δὲ τὰς πρώτας Κικέρωνος εἰς τὴν βουλὴν γράψαντος, ὧν ἁμῶς γέ πως ἀνθρώπινον ἦν τὸ μέγεθος, ἕτεροι προστιθέντες ὑπερβολὰς ἐξειργάσαντο καὶ τοῖς πρᾳοτάτοις ἐπαχθῆ τὸν ἄνδρα καὶ λυπηρὸν γενέσθαι[6] διὰ τὸν ὄγκον καὶ τὴν ἀτοπίαν τῶν ψηφιζομένων. Καὶ οὐδὲν ἧττον συνηγωνίσαντο τῶν κολακευόντων Καίσαρα οἱ μισοῦντες, ὅπως ὅτι πλείστας κατ' αὐτοῦ προφάσεις ἔχωσι καὶ μετὰ μεγίστων ἐγκλημάτων ἐπιχειρεῖν δοκῶσιν. Ἐπεὶ τά γε ἄλλα[7] ἀνέγκλητον παρεῖχε ἑαυτόν· καὶ τό γε τῆς Ἐπιεικείας ἱερὸν οὐκ ἀπὸ τρόπου[8] δοκοῦσι χαριστήριον ἐπὶ τῇ πρᾳότητι ψηφίσασθαι. Καὶ γὰρ ἀφῆκε πολλοὺς τῶν πεπολεμηκότων πρὸς αὐτόν, ἐνίοις δὲ καὶ ἀρχὰς καὶ τιμάς, ὡς Βρούτῳ καὶ Κασσίῳ, προσέθηκεν· ἐστρατήγουν γὰρ ἀμφότεροι. Καὶ τὰς Πομπηίου καταβεβλημένας[9] εἰκόνας οὐ περιεῖδεν, ἀλλ' ἀνέστησεν, ἐφ' ὧν καὶ Κικέρων εἶπεν, ὅτι Καῖσαρ τοὺς Πομπηίου στήσας ἀνδριάντας τοὺς ἰδίους ἔπηξε. Τῶν δὲ φίλων ἀξιούντων αὐτὸν δορυφορεῖσθαι καὶ πολλῶν ἐπὶ τοῦτο παρεχόντων ἑαυτοὺς οὐχ ὑπέμεινεν, εἰπὼν ὡς βέλτιόν ἐστιν ἅπαξ ἀποθανεῖν ἢ ἀεὶ προσδοκᾶν. Τὴν δ' εὔνοιαν ὡς[10] κάλλιστον ἅμα καὶ βεβαιότατον ἑαυτῷ περιβαλλόμενος φυλακτήριον αὖθις ἀνελάμβανε[11] τὸν δῆμον ἑστιάσεσι καὶ σιτηρεσίοις, τὸ δὲ στρατιωτικὸν ἀποικίαις, ὧν ἐπιφανέσταται Καρχηδὼν καὶ Κόρινθος ἦσαν.

2. Πράττοντος δὲ αὐτοῦ ταῦτα ἐπιθυμία τε πάντας τοὺς Ῥωμαίους ὁμοίως εἰσῆλθε τιμωρῆσαι τῷ τε Κράσσῳ, καὶ ἐλπὶς[12]

---

[3] das war der letzte K., den ... — [4] οὐδεὶς ὅστις οὐ jeder. — [5] auf Lebenszeit. — [6] von ἐξειργάσαντο abhängig; waren Schuld, daß er — wurde. — [7] in anderer Beziehung, sonst. — [8] οὐκ ἀπὸ τρόπου nicht unpassend. — [9] s. erste Abth. § 50a. 1. — [10] als. — [11] suchte zu ... — [12] nämlich εἰσῆλθε.

τότε, εἴπερ ποτέ, τοὺς Πάρθους καταστρέψασθαι. Τόν τε οὖν πόλεμον τῷ Καίσαρι ὁμοθυμαδὸν ἐψηφίσαντο, καὶ τὴν παρασκευὴν αὐτοῦ πολλὴν ἐποιοῦντο. Ἤδη δὲ ἔνιοι λόγον τινὰ κατέσπειραν εἰς τὸν δῆμον, ὡς ἐκ[13] γραμμάτων Σιβυλλείων ἁλώσιμα τὰ Πάρθων φαίνοιτο Ῥωμαίοις σὺν βασιλεῖ στρατευομένοις ἐπ' αὐτούς, ἄλλως ἀνέφικτα ὄντα. Καὶ καταβαίνοντος ἐξ Ἄλβης Καίσαρος εἰς τὴν πόλιν ἐτόλμησαν αὐτὸν ἀσπάσασθαι βασιλέα· τοῦ δὲ δήμου διαταραχθέντος, ἀχθεσθεὶς ἐκεῖνος οὐκ ἔφη Βασιλεύς[14], ἀλλὰ Καῖσαρ καλεῖσθαι· καὶ γενομένης πρὸς τοῦτο πάντων σιωπῆς οὐ πάνυ φαιδρὸς οὐδ' εὐμενὴς παρῆλθεν.

Ἐν δὲ συγκλήτῳ τιμάς τινας ὑπερφυεῖς αὐτῷ ψηφισαμένων ἔτυχε μὲν ὑπὲρ τῶν ἐμβόλων καθεζόμενος· προσιόντων δὲ τῶν ὑπάτων καὶ τῶν στρατηγῶν, ἅμα δὲ καὶ τῆς βουλῆς ἁπάσης ἑπομένης, οὐχ ὑπεξανέστη, ἀλλ' ὥσπερ ἰδιώταις τισὶ χρηματίζων ἀπεκρίνατο ἀφαιρέσεως μᾶλλον ἢ προσθέσεως τὰς τιμὰς δεῖσθαι. Καὶ τοῦτο οὐ μόνον ἠνίασε τὴν βουλήν, ἀλλὰ καὶ τὸν δῆμον, ὡς[15] ἐν τῇ βουλῇ τῆς πόλεως προπηλακιζομένης, ὥστε κἀκεῖνον ἐννοήσαντα παραχρῆμα μὲν οἴκαδε τραπέσθαι καὶ βοᾶν πρὸς τοὺς φίλους, ἀπαγαγόντα τοῦ τραχήλου τὸ ἱμάτιον, ὡς ἕτοιμος εἴη τῷ βουλομένῳ τὴν σφαγὴν παρέχειν. Ὕστερον δὲ προὐφασίζετο τὴν νόσον[16]· οὐ γὰρ ἐθέλειν τὴν αἴσθησιν ἀτρεμεῖν τῶν οὕτως ἐχόντων[17], ὅταν ἱστάμενοι διαλέγωνται πρὸς ὄχλον, ἀλλὰ σειομένην ταχὺ ἰλίγγους ἐπισπᾶσθαι. Τὸ δὲ οὐκ εἶχεν οὕτως, ἀλλὰ καὶ πάνυ βουλόμενον αὐτὸν ὑπεξαναστῆναι τῇ βουλῇ λέγουσιν ὑπό του τῶν φίλων, μᾶλλον δὲ[18] κολάκων, Κορνηλίου Βάλβου, κατασχεθῆναι φήσαντος· „Οὐ μεμνήσῃ Καῖσαρ ὤν[19], οὐδὲ ἀξιώσεις ὡς κρείττονα θεραπεύεσθαι σεαυτόν;"

3. Ἐπιγίγνεται τούτοις τοῖς προσκρούσμασιν ὁ τῶν δημάρχων προπηλακισμός. Ἦν μὲν γὰρ ἡ τῶν Λουπερκαλίων ἑορτή, ἣ ποιμένων τὸ παλαιὸν ἦν, καί τι καὶ προσήκει τοῖς Ἀρκαδικοῖς Λυκαίοις. Τὰ δὲ δρώμενα[20] τὴν αἰτίαν ποιεῖ δυστόπαστον·

---

[13] laut. — [14] Rex war auch ein römischer Familienname. — [15] in dem Gefühle, daß. — [16] Cäsar litt häufig an heftigen Kopfschmerzen und mitunter an epileptischen Zufällen. — [17] solcher Kranken. — [18] oder vielmehr. — [19] s. erste Abth. § 50a. 1. — [20] die dabei vorkommenden Gebräuche.

σφάττουσι γὰρ αἶγας, εἶτα μειρακίων δυοῖν εὐγενῶν προσαχθέντων, οἱ μὲν ἡμαγμένῃ μαχαίρᾳ τοῦ μετώπου θιγγάνουσιν, ἕτεροι δ' ἀπομάττουσιν εὐθὺς ἔριον βεβρεγμένον γάλακτι προσφέροντες. Γελᾶν δὲ δεῖ τὰ μειράκια μετὰ τὴν ἀπόμαξιν. Ἐκ δὲ τούτου τὰ δέρματα τῶν αἰγῶν κατατεμόντες διαθέουσιν ἐν περιζώμασι γυμνοὶ τοῖς σκύτεσι τοὺς ἐμποδὼν παίοντες. Ταῦτα Καῖσαρ ἐθεᾶτο καθήμενος ἐπὶ τῶν ἐμβόλων ἐπὶ δίφρου χρυσοῦ θριαμβικῷ κόσμῳ κεκοσμημένος. Ἀντώνιος δὲ τῶν θεόντων τὸν ἱερὸν δρόμον εἷς ἦν· καὶ γὰρ ὑπάτευεν. Ὡς οὖν εἰς τὴν ἀγορὰν ἐνέβαλε καὶ τὸ πλῆθος αὐτῷ διέστη, φέρων διάδημα στεφάνῳ δάφνης[21] *περιπεπλεγμένον ὤρεξε τῷ Καίσαρι· καὶ γίγνεται κρότος οὐ λαμπρός, ἀλλ' ὀλίγος ἐκ παρασκευῆς*[22]. *Ἀπωσαμένου δὲ τοῦ Καίσαρος ἅπας ὁ δῆμος ἀνεκρότησεν· αὖθις δὲ προσφέροντος ὀλίγοι, καὶ οὐ δεξαμένου πάλιν ἅπαντες*[23]. *Οὕτω δὲ τῆς πείρας ἐξελεγχομένης Καῖσαρ μὲν ἀνίσταται, τὸν στέφανον εἰς τὸ Καπιτώλιον ἀπενεχθῆναι κελεύσας, ὀλίγαις δὲ ἡμέραις ὕστερον ὤφθησαν ἀνδριάντες αὐτοῦ διαδήμασιν ἀναδεδεμένοι βασιλικοῖς. Καὶ τῶν δημάρχων δύο, Φλαούϊος καὶ Μάρυλλος, ἐπελθόντες ἀπέσπασαν, καὶ τοὺς ἀσπασαμένους βασιλέα τὸν Καίσαρα πρώτους ἐξευρόντες ἀπῆγον εἰς τὸ δεσμωτήριον. Ὁ δὲ δῆμος εἵπετο κροτῶν καὶ Βρούτους ἀπεκάλει τοὺς ἄνδρας, ὅτι Βροῦτος ἦν ὁ καταλύσας τὴν τῶν βασιλέων διαδοχὴν καὶ τὸ κράτος εἰς βουλὴν καὶ δῆμον ἐκ μοναρχίας καταστήσας. Ἐπὶ τούτῳ Καῖσαρ παροξυνθεὶς τὴν μὲν ἀρχὴν ἀφείλετο τοῦ Φλαουΐου καὶ τοῦ Μαρύλλου, ἐν δὲ τῷ κατηγορεῖν αὐτῶν ἅμα καὶ τὸν δῆμον ἐφυβρίζων πολλάκις Βρούτους*[24] *τε καὶ Κυμαίους*[25] *ἀπεκάλει τοὺς ἄνδρας.*

4. *Οὕτω δὴ τρέπονται πρὸς Μάρκον Βροῦτον οἱ πολλοί, γένος μὲν ἐκεῖθεν εἶναι δοκοῦντα πρὸς πατέρων, καὶ τὸ πρὸς μητρὸς δὲ ἀπὸ Σερουιλίων, οἰκίας ἑτέρας ἐπιφανοῦς, γαμβρὸν δὲ καὶ ἀδελφιδοῦν Κάτωνος. Τοῦτον ἐξ ἑαυτοῦ μὲν ὁρμῆσαι πρὸς κατάλυσιν τῆς μοναρχίας ἤμβλυνον αἱ παρὰ Καίσαρος τιμαὶ καὶ χάριτες. Οὐ γὰρ μόνον ἐσώθη περὶ Φάρσαλον μετὰ τὴν Πομπηίου φυγήν, οὐδὲ*[26] *πολλοὺς τῶν ἐπιτηδείων ἔσωσεν ἐξαιτη-*

---

[21] Genet. generis; von, aus. — [22] d. h. von eigens dazu bestellten Leuten ausgehend. — [23] ergänze *ἀνεκρότησαν*. — [24] brutus = unvernünftig. — [25] die Bewohner von Kumä in Kleinasien galten als einfältig. — [26] und.

σάμενος, ἀλλὰ καὶ πίστιν εἶχε μεγάλην παρ' αὐτῷ. Καὶ στρατηγίαν μὲν ἐν τῷ τότε[27] τὴν ἐπιφανεστάτην ἔλαβεν, ὑπατεύειν δὲ ἔμελλεν εἰς τέταρτον ἔτος, ἐρίσαντος Κασσίου προτιμηθείς. Λέγεται γὰρ ὁ Καῖσαρ εἰπεῖν, ὡς δικαιότερα μὲν λέγοι Κάσσιος, αὐτὸς μέντοι Βροῦτον οὐκ ἂν παρέλθοι. Καί ποτε καὶ διαβαλλόντων τινῶν τὸν ἄνδρα, πραττομένης ἤδη τῆς συνωμοσίας, οὐ προσέσχεν, ἀλλὰ τοῦ σώματος τῇ χειρὶ θιγὼν ἔφη πρὸς τοὺς διαβάλλοντας· „Ἀναμενεῖ τοῦτο τὸ δέρμα Βροῦτος," ὡς[28] ἄξιον μὲν ὄντα τῆς ἀρχῆς δι' ἀρετήν, διὰ δὲ τὴν ἀρχὴν οὐκ ἂν ἀχάριστον καὶ πονηρὸν γενόμενον.

Οἱ δὲ τῆς μεταβολῆς ἐφιέμενοι καὶ πρὸς μόνον ἐκεῖνον ἢ πρῶτον ἀποβλέποντες αὐτῷ μὲν οὐκ ἐτόλμων διαλέγεσθαι, νύκτωρ δὲ κατεπίμπλασαν γραμμάτων τὸ βῆμα καὶ τὸν δίφρον, ἐφ' οὗ στρατηγῶν ἐχρημάτιζεν· ὧν ἦν τὰ πολλὰ τοιαῦτα· „Καθεύδεις, ὦ Βροῦτε" καί „Οὐκ εἶ Βροῦτος". Ὑφ' ὧν ὁ Κάσσιος αἰσθόμενος διακινουμένην ἡσυχῇ τὴν φιλοτιμίαν αὐτοῦ, μᾶλλον ἢ πρότερον ἐνέκειτο καὶ παρώξυνεν, αὐτὸς ἰδίᾳ τι καὶ μίσους[29] ἔχων πρὸς τὸν Καίσαρα. Εἶχε μέντοι καὶ δι'[30] ὑποψίας ὁ Καῖσαρ αὐτόν, ὥστε καὶ πρὸς τοὺς φίλους εἰπεῖν ποτε· „Τί φαίνεται βουλόμενος[31] ὑμῖν Κάσσιος; ἐμοὶ μὲν γὰρ οὐ λίαν ἀρέσκει λίαν ὠχρὸς ὤν." Πάλιν δὲ λέγεται περὶ Ἀντωνίου καὶ Δολοβέλλα διαβολῆς πρὸς αὐτόν, ὡς νεωτερίζοιεν, ἐλθούσης „Οὐ πάνυ" φάναι „τούτους δέδοικα τοὺς παχεῖς καὶ κομήτας, μᾶλλον δὲ τοὺς ὠχροὺς καὶ λεπτοὺς ἐκείνους·" Κάσσιον λέγων καὶ Βροῦτον.

5. Ἀλλ' ἔοικεν οὐχ οὕτως[32] ἀπροσδόκητον ὡς ἀφύλακτον εἶναι τὸ πεπρωμένον, ἐπεὶ καὶ σημεῖα θαυμαστὰ καὶ φάσματα φανῆναι λέγουσι. Σέλα μὲν οὖν οὐράνια καὶ κτύπους νύκτωρ πολλαχοῦ διαφερομένους καὶ καταίροντας εἰς ἀγορὰν ἐρήμους ὄρνιθας οὐκ ἄξιον ἴσως ἐπὶ πάθει τηλικούτῳ μνημονεῦσαι· Στράβων δὲ ὁ φιλόσοφος ἱστορεῖ πολλοὺς μὲν ἀνθρώπους διαπύρους ἐπιφερομένους φανῆναι, αὐτῷ δὲ Καίσαρι θύοντι τὴν καρδίαν ἀφανῆ γενέσθαι τοῦ ἱερείου καὶ δεινὸν εἶναι[33] τὸ τέρας· οὐ γὰρ ἂν φύσει γε συστῆναι[34] ζῷον ἀκάρδιον. Ἔστι δὲ καὶ ταῦτα

[27] in der damaligen Zeit; er war Stadtprätor. — [28] ὡς mit Acc. absolut.; indem er zu verstehen gab, daß Brutus ... würdig sei und wohl nicht .... würde. — [29] von τι abhängig. — [30] im. — [31] im Sinne zu haben. — [32] nicht sowohl. — [33] sei gewesen. — [34] Potentialis im Inf.

πολλῶν ἀκοῦσαι[35] διεξιόντων, ὥς τις αὐτῷ μάντις ἡμέρᾳ[36] Μαρτίου μηνός, ἣν Εἰδοὺς Ῥωμαῖοι καλοῦσι, προείποι μέγαν φυλάττεσθαι κίνδυνον· ἐλθούσης δὲ τῆς ἡμέρας προϊὼν τὸν Καίσαρα εἰς τὴν σύγκλητον ἀσπασάμενον προσπαῖξαι[37] τῷ μάντει φάμενον· „Αἱ μὲν δὴ Μάρτιαι Εἰδοὶ πάρεισιν", τὸν δὲ ἡσυχῇ πρὸς αὐτὸν εἰπεῖν[37]· „Ναὶ πάρεισιν, ἀλλ' οὐ παρεληλύθασι."

Μιᾷ δὲ ἡμέρᾳ πρότερον Μάρκου Λεπίδου δειπνίζοντος αὐτὸν ἔτυχε μὲν ἐπιστολαῖς ὑπογράφων, ὥσπερ εἰώθει, κατακείμενος· ἐμπεσόντος δὲ λόγου, ποῖος ἄρα τῶν θανάτων ἄριστος, ἅπαντας φθάσας ἐξεβόησεν· „Ὁ ἀπροσδόκητος." Νυκτὸς δὲ πασῶν ἅμα τῶν θυρῶν τοῦ δωματίου καὶ τῶν θυρίδων ἀναπεταννυμένων, διαταραχθεὶς ἅμα τῷ κτύπῳ καὶ τῷ φωτὶ καταλαμπούσης τῆς σελήνης, ᾔσθετο τὴν Καλπουρνίαν βαθέως μὲν καθεύδουσαν, ἀσαφεῖς δὲ φωνὰς καὶ στεναγμοὺς ἀνάρθρους ἀναπέμπουσαν ἐκ τῶν ὕπνων· ἐδόκει[38] δὲ ἄρα κλαίειν ἐκεῖνον ἐπὶ ταῖς ἀγκάλαις ἔχουσα κατεσφαγμένον. Ἡμέρας δ' οὖν γενομένης ἐδεῖτο τοῦ Καίσαρος, εἰ μὲν οἷόν τε, μὴ προελθεῖν, ἀλλ' ἀναβαλέσθαι τὴν σύγκλητον· εἰ δὲ τῶν ἐκείνης ὀνείρων ἐλάχιστα φροντίζει, σκέψασθαι διὰ μαντικῆς ἄλλης καὶ ἱερῶν περὶ τοῦ μέλλοντος. Εἶχε δέ τις, ὡς ἔοικε, κἀκεῖνον ὑποψία καὶ φόβος. Οὐδεμίαν γὰρ δεισιδαιμονίαν πρότερον κατεγνώκει τῆς Καλπουρνίας. Ὡς δὲ καὶ πολλὰ καταθύσαντες οἱ μάντεις ἔφρασαν αὐτῷ τὰ ἱερὰ οὐ γίγνεσθαι, ἔγνω πέμψας Ἀντώνιον ἀφεῖναι τὴν σύγκλητον.

6. Ἐν δὲ τούτῳ Δέκιμος Βροῦτος, πιστευόμενος μὲν ὑπὸ Καίσαρος, ὥστε καὶ δεύτερος ὑπ' αὐτοῦ κληρονόμος γεγράφθαι, τοῖς δὲ περὶ Βροῦτον τὸν ἕτερον καὶ Κάσσιον μετέχων τῆς συνωμοσίας, φοβηθεὶς μὴ τὴν ἡμέραν ἐκείνην διακρουσαμένου τοῦ Καίσαρος ἔκπυστος ἡ πρᾶξις γένηται, τούς τε μάντεις ἐχλεύαζε καὶ καθήπτετο τοῦ Καίσαρος, ὡς[39] αἰτίας καὶ διαβολὰς ἑαυτῷ κτωμένου πρὸς τὴν σύγκλητον ὑβρίζεσθαι δοκοῦσαν· ἥκειν μὲν γὰρ αὐτὴν κελεύσαντος ἐκείνου, καὶ προθύμους εἶναι ψηφίζεσθαι πάντας, ὅπως τῶν ἐκτὸς Ἰταλίας ἐπαρχιῶν βασιλεὺς ἀναγορεύοιτο καὶ φοροίη διάδημα τὴν ἄλλην ἐπιὼν γῆν[40] καὶ θάλασσαν· εἰ δὲ

---

[35] von ἔστι (man kann) abhängig. — [36] wann? — [37] von διεξιόντων abhängig. — [38] es träumte ihr. — [39] daß er sich — zuziehen würde. — [40] in alle andern Länder.

φράσει τις αὐτοῖς καθεζομένοις νῦν μὲν ἀπαλλάττεσθαι[41], παρεῖναι δὲ αὖθις, ὅταν ἐντύχῃ βελτίοσιν ὀνείροις Καλπουρνία, τίνας ἔσεσθαι λόγους παρὰ τῶν φθονούντων;

Ταῦθ' ἅμα λέγων ὁ Βροῦτος ἦγε τῆς χειρὸς λαβόμενος τὸν Καίσαρα. Καὶ μικρὸν μὲν αὐτῷ προελθόντι τῶν θυρῶν οἰκέτης ἀλλότριος ἐντυχεῖν προθυμούμενος, ὡς ἡττᾶτο τοῦ περὶ ἐκεῖνον ὠθισμοῦ καὶ πλήθους, βιασάμενος εἰς τὴν οἰκίαν παρέδωκεν ἑαυτὸν τῇ Καλπουρνίᾳ φυλάττειν κελεύσας, ἄχρι ἂν ἐπανέλθῃ Καῖσαρ, ὡς[42] ἔχων μεγάλα πράγματα κατειπεῖν πρὸς αὐτόν.

7. Ἀρτεμίδωρος δὲ Κνίδιος τὸ γένος[43], Ἑλληνικῶν λόγων σοφιστὴς καὶ διὰ τοῦτο γεγονὼς ἐνίοις συνήθης τῶν περὶ Βροῦτον, ὥστε καὶ γνῶναι τὰ πλεῖστα τῶν πραττομένων, ἧκε μὲν ἐν βιβλιδίῳ κομίζων ἅπερ ἔμελλε μηνύειν, ὁρῶν δὲ τὸν Καίσαρα τῶν βιβλιδίων ἕκαστον δεχόμενον καὶ παραδιδόντα τοῖς περὶ αὐτὸν ὑπηρέταις, ἐγγὺς σφόδρα προσελθὼν „Τοῦτο“ ἔφη „Καῖσαρ, ἀνάγνωθι μόνος καὶ ταχέως· γέγραπται γὰρ ὑπὲρ πραγμάτων μεγάλων καί σοι διαφερόντων.“ Δεξάμενος οὖν ὁ Καῖσαρ, ἀναγνῶναι μὲν ὑπὸ πλήθους τῶν ἐντυγχανόντων ἐκωλύθη, καίπερ ὁρμήσας πολλάκις, ἐν δὲ τῇ χειρὶ κατέχων καὶ φυλάττων μόνον ἐκεῖνο παρῆλθεν εἰς τὴν σύγκλητον.

8. Ἀντώνιον μὲν οὖν πιστὸν ὄντα Καίσαρι καὶ ῥωμαλέον ἔξω παρακατεῖχε Γάιος Τρεβώνιος, ἐμβαλὼν ἐπίτηδες ὁμιλίαν μῆκος ἔχουσαν· εἰσιόντος δὲ Καίσαρος ἡ βουλὴ μὲν ὑπεξανέστη θεραπεύουσα, τῶν δὲ περὶ Βροῦτον οἱ μὲν ἐξόπισθεν τὸν δίφρον αὐτοῦ περιέστησαν, οἱ δὲ ἀπήντησαν, ὡς[44] δὴ Τιλλίῳ Κίμβρῳ περὶ ἀδελφοῦ φυγάδος ἐντυγχάνοντι συνδεησόμενοι, καὶ συνεδέοντο μέχρι τοῦ δίφρου παρακολουθοῦντες. Ὡς δὲ καθίσας διεκρούετο τὰς δεήσεις καὶ προσκειμένων βιαιότερον ἠγανάκτει πρὸς ἕκαστον, ὁ μὲν Τίλλιος τὴν τήβεννον αὐτοῦ ταῖς χερσὶν ἀμφοτέραις συλλαβὼν ἀπὸ τοῦ τραχήλου κατῆγεν· ὅπερ ἦν σύνθημα τῆς ἐπιχειρήσεως.

Πρῶτος δὲ Κάσκας ξίφει παίει παρὰ τὸν αὐχένα πληγὴν οὐ θανατηφόρον οὐδὲ βαθεῖαν, ἀλλ', ὡς εἰκός, ἐν ἀρχῇ τολμήματος

---

[41] sie sollten für jetzt ... — [42] da er — habe. — [43] Akk. der nähern Bestimmung. — [44] als wollten sie ...

μεγάλου ταραχθείς, ὥστε καὶ τὸν Καίσαρα μεταστραφέντα τοῦ ἐγχειριδίου λαβέσθαι καὶ κατασχεῖν. Ἅμα δέ πως ἐξεφώνησαν ὁ μὲν πληγεὶς Ῥωμαϊστί· „Μιαρώτατε Κάσκα, τί ποιεῖς;" ὁ δὲ πλήξας Ἑλληνιστὶ πρὸς τὸν ἀδελφόν· „Ἀδελφέ, βοήθει." Τοιαύτης δὲ τῆς ἀρχῆς γενομένης τοὺς μὲν οὐδὲν συνειδότας ἔκπληξις εἶχε καὶ φρίκη πρὸς τὰ δρώμενα, οὔτε φεύγειν οὔτε ἀμύνειν, ἀλλ' οὐδὲ φωνὴν ἐκβάλλειν τολμῶντας. Ἤδη δὲ παιόμενος ὑπὸ πολλῶν καὶ κύκλῳ περιβλέπων καὶ διώσασθαι βουλόμενος, ὡς Βροῦτον εἶδεν ἐσπασμένον τὸ ξίφος, ἐφειλκύσατο κατὰ τῆς κεφαλῆς τὸ ἱμάτιον καὶ παρῆκεν ἑαυτόν, εἴτε ἀπὸ τύχης εἴτε ὑπὸ τῶν κτεινόντων ἀπωσθείς, πρὸς τὴν βάσιν, ἐφ' ἧς ὁ Πομπηίου ἐβεβήκει ἀνδριάς. Καὶ πολὺ καθήμαξεν αὐτὴν ὁ φόνος, ὥστε δοκεῖν αὐτὸν ἐφεστάναι τῇ τιμωρίᾳ τοῦ πολεμίου Πομπήιου.

9. *Οὕτω δὲ ἀποθανόντος τοῦ ἀνδρὸς ἡ μὲν γερουσία, καίπερ εἰς μέσον ἐλθόντος Βρούτου, ὥς τι περὶ τῶν πεπραγμένων ἐροῦντος*[45], *οὐκ ἀνασχομένη διὰ θυρῶν ἐξέπιπτε καὶ φεύγουσα κατέπλησε ταραχῆς καὶ δέους ἀπόρου τὸν δῆμον, ὥστε τοὺς μὲν οἰκίας κλείειν, τοὺς δὲ ἀπολείπειν τραπέζας καὶ χρηματιστήρια. Ἀντώνιος δὲ καὶ Λέπιδος οἱ μάλιστα φίλοι Καίσαρος ὑπεκδύντες εἰς οἰκίας ἑτέρας κατέφυγον.*

Οἱ δὲ περὶ Βροῦτον, ὥσπερ ἦσαν ἔτι θερμοὶ τῷ φόνῳ, γυμνὰ τὰ ξίφη δεικνύντες ἅμα πάντες ἀπὸ τοῦ βουλευτηρίου συστραφέντες ἐχώρουν εἰς τὸ Καπιτώλιον, οὐ φεύγουσιν ἐοικότες, ἀλλὰ μάλα φαιδροὶ καὶ θαρραλέοι παρακαλοῦντες ἐπὶ τὴν ἐλευθερίαν τὸ πλῆθος καὶ προσδεχόμενοι τοὺς ἀρίστους τῶν ἐντυγχανόντων. Ἔνιοι δὲ καὶ συνανέβαινον αὐτοῖς καὶ κατεμίγνυσαν ἑαυτοὺς ὡς[46] *μετεσχηκότες τοῦ ἔργου καὶ προσεποιοῦντο τὴν δόξαν.*

Μεθ' ἡμέραν δὲ τῶν περὶ Βροῦτον κατελθόντων καὶ ποιησαμένων λόγους, ὁ μὲν δῆμος οὔτε δυσχεραίνων οὔτε ὡς ἐπαινῶν τὰ πεπραγμένα τοῖς λεγομένοις προσεῖχεν, ἀλλ' ὑπεδήλου τῇ πολλῇ σιωπῇ Καίσαρα μὲν οἰκτείρων[47], *αἰδούμενος δὲ Βροῦτον, ἡ δὲ σύγκλητος ἀμνηστίας τινὰς καὶ συμβάσεις πράττουσα, πᾶσι Καίσαρα μὲν ὡς θεὸν τιμᾶν ἐψηφίσατο καὶ κινεῖν μηδὲ τὸ*

---

[45] s. II. B. Anm. 19. — [46] als ob. — [47] s. erste Abth. § 50a. 1.

μικρότατον ὤν[48] ἐκεῖνος ἄρχων ἐβούλευσε, τοῖς δὲ περὶ Βροῦτον ἐπαρχίας τε διένειμε καὶ τιμὰς ἀπέδωκε πρεπούσας.

10. Ἐπεὶ δὲ τῶν διαθηκῶν τῶν Καίσαρος ἀνοιχθεισῶν εὑρέθη δεδομένη[47] Ῥωμαίων ἑκάστῳ δόσις ἀξιόλογος, καὶ τὸ σῶμα κομιζόμενον δι' ἀγορᾶς ἐθεάσαντο ταῖς πληγαῖς διαλελωβημένον, οὐκέτι κόσμον εἶχεν οὐδὲ τάξιν αὐτῶν τὸ πλῆθος. Καὶ τῷ μὲν νεκρῷ περισωρεύσαντες ἐξ ἀγορᾶς βάθρα καὶ κιγκλίδας καὶ τραπέζας ὑφῆψαν αὐτοῦ καὶ κατέκαυσαν, ἀράμενοι δὲ δαλοὺς διαπύρους ἔθεον ἐπὶ τὰς οἰκίας τῶν ἀνῃρηκότων ὡς καταφλέξοντες[45], ἄλλοι δὲ ἐφοίτων πανταχόσε τῆς πόλεως συλλαβεῖν καὶ διασπάσασθαι τοὺς ἄνδρας ζητοῦντες. Οἷς ἐκείνων μὲν οὐδεὶς ἀπήντησεν, ἀλλὰ εὖ πεφραγμένοι πάντες ἦσαν. Κίννας δέ τις τῶν Καίσαρος ἑταίρων ἔτυχε μέν, ὥς φασιν, ὄψιν ἑωρακὼς ἄτοπον· ἐδόκει γὰρ ὑπὸ Καίσαρος ἐπὶ δεῖπνον καλεῖσθαι, παραιτούμενος δὲ ἄγεσθαι τῆς χειρὸς ὑπ' αὐτοῦ. Ὡς δ' ἤκουσεν ἐν ἀγορᾷ τὸ σῶμα καίεσθαι τοῦ Καίσαρος, ἀναστὰς ἐβάδιζεν ἐπὶ τιμῇ, καίπερ ὑφορώμενός τε τὴν ὄψιν ἅμα καὶ πυρέττων. Καί τις ὀφθέντος αὐτοῦ τῶν πολλῶν ἔφρασεν ἑτέρῳ τοὔνομα πυνθανομένῳ, κἀκεῖνος ἄλλῳ, καὶ διὰ πάντων εὐθὺς ἦν[49], ὡς οὗτός ἐστιν ὁ ἀνὴρ τῶν ἀνῃρηκότων Καίσαρα· καὶ γὰρ[50] ἦν τις ὁμώνυμος ἐκείνῳ Κίννας ἐν τοῖς συνομοσαμένοις, ὃν τοῦτον εἶναι ὑπολαβόντες ὥρμησαν εὐθὺς καὶ διέσπασαν ἐν μέσῳ τὸν ἄνθρωπον. Τοῦτο μάλιστα δείσαντες οἱ περὶ Βροῦτον καὶ Κάσσιον οὐ πολλῶν ἡμερῶν διαγενομένων ἀπεχώρησαν ἐκ τῆς πόλεως.

11. Ἀποθνήσκει δὲ Καῖσαρ γεγονὼς ἔτη πεντήκοντα καὶ ἕξ, ἣν δὲ τῷ βίῳ παντὶ ἀρχὴν[51] καὶ δυναστείαν διὰ κινδύνων τοσούτων διώκων μόλις κατειργάσατο, ταύτης οὐδὲν ὅτι μὴ[52] τοὔνομα μόνον καὶ τὴν ἐπίφθονον καρπωσάμενος δόξαν παρὰ τῶν πολιτῶν. Ὁ μέντοι μέγας αὐτοῦ δαίμων, ᾧ παρὰ τὸν βίον ἐχρήσατο, καὶ τελευτήσαντος ἐπηκολούθησε τιμωρὸς τοῦ φόνου, διά τε γῆς πάσης καὶ θαλάττης ἐλαύνων ἄχρι τοῦ μηδένα λιπεῖν[53] τῶν ἀπεκτονότων. Θαυμασιώτατον δὲ τῶν μὲν ἀνθρωπίνων τὸ περὶ[54] Κάσσιον· ἡττηθεὶς γὰρ ἐν Φιλίπποις ἐκείνῳ τῷ ξιφιδίῳ διέφθειρεν

[48] für τούτων, ἅ. — [49] es verbreitete sich. — [50] denn in der That. — [51] für τῆς δὲ ἀρχῆς, ἥν. — [52] außer. — [53] bis er keinen mehr übrig gelassen. — [54] das Schicksal des C.

ἑαυτόν, ᾧ κατὰ Καίσαρος ἐχρήσατο· τῶν δὲ θείων ὅ τε μέγας κομήτης (ἐφάνη γὰρ ἐπὶ νύκτας ἑπτὰ μετὰ τὴν Καίσαρος σφαγὴν διαπρεπής, εἶτα ἠφανίσθη) καὶ τὸ περὶ τὸν ἥλιον ἀμαύρωμα τῆς αὐγῆς· Ὅλον γὰρ ἐκεῖνον τὸν ἐνιαυτὸν ὠχρὸς ὁ κύκλος ἀνέτελλεν.

Μάλιστα δὲ τὸ Βρούτῳ γενόμενον φάσμα τὴν Καίσαρος ἐδήλωσε σφαγὴν οὐ γενομένην θεοῖς ἀρεστήν· ἦν δὲ τοιόνδε. Μέλλων τὸν στρατὸν ἐξ Ἀβύδου διαβιβάζειν εἰς τὴν ἑτέραν ἤπειρον ἀνεπαύετο νυκτός, ὥσπερ εἰώθει, κατὰ σκηνήν, οὐ καθεύδων, ἀλλὰ φροντίζων περὶ τοῦ μέλλοντος· ψόφου δέ τινος αἰσθέσθαι περὶ τὴν θύραν ἔδοξε, καὶ πρὸς τὸ τοῦ λύχνου φῶς ἤδη καταφερομένου[55] *σκεψάμενος ὄψιν εἶδε φοβερὰν ἀνδρὸς δεινοῦ τὸ μέγεθος*[56] *καὶ χαλεποῦ τὸ εἶδος. Ἐκπλαγεὶς δὲ τὸ πρῶτον, ὡς ἑώρα οὔτε πράττοντά τι οὔτε φθεγγόμενον, ἀλλ' ἑστῶτα σιγῇ παρὰ τὴν κλίνην, ἠρώτα, ὅστις ἐστίν. Ἀποκρίνεται δ' αὐτῷ τὸ φάσμα „Ὁ σός, ὦ Βροῦτε, δαίμων κακός· ὄψει δέ με περὶ Φιλίππους.“ Τότε μὲν οὖν ὁ Βροῦτος εὐθαρσῶς „Ὄψομαι“ εἶπε· καὶ τὸ δαιμόνιον εὐθὺς ἐκποδὼν ἀπῄει. Ὕστερον δὲ περὶ τοὺς Φιλίππους ἀντιταχθεὶς Ἀντωνίῳ καὶ Καίσαρι*[57] *τῇ μὲν πρώτῃ μάχῃ κρατήσας τὸ καθ' ἑαυτὸν*[58] *ἐτρέψατο τὸ Καίσαρος*[59] *στράτευμα, τὴν δὲ δευτέραν*[60] *αὐτῷ μάχεσθαι μέλλοντι φοιτᾷ τὸ αὐτὸ φάσμα τῆς νυκτὸς αὖθις οὐδὲν προσαγορεύων· ἀλλὰ συνεὶς ὁ Βροῦτος τὸ πεπρωμένον ἔρριψε φερόμενος ἑαυτὸν εἰς τὸν κίνδυνον. Οὐ μὴν ἔπεσεν ἀγωνιζόμενος, ἀλλὰ τῆς τροπῆς γενομένης ἀναφυγὼν πρός τι κρημνῶδες καὶ τῷ ξίφει γυμνῷ προσβαλὼν τὸ στέρνον, ἅμα καὶ φίλου τινός, ὥς φασι, συνεπιρρώσαντος τὴν πληγήν, ἀπέθανεν.*

---

[55] mit *λύχνου* zu verbinden. — [56] Akkus. der nähern Bestimmung. — [57] Octavian. — [58] auf seiner Seite. — [59] Octavian. — [60] ergänze *μάχην*.

Wörterverzeichniß.

Vorerinnerung. Die Substantiva der I. und II. Deklination sind in der Regel ohne Bezeichnung des Genetivs und des Genus gelassen worden.

Ἀβασίλευτος, 2. ohne einen König.
ἄβατος, 2. unbetretbar.
ἀβέβαιος, 2. unzuverlässig, unsicher.
ἀβλαβής, ές, unbeschädigt, unschädlich.
ἀβούλητος, unwillkürlich, lästig.
Ἄβυδος, Stadt Kleinasiens am Hellespont.
ἀγαθός, 3. gut; τὸ ἀγαθόν, das Gute, das Gut, der Vortheil.
ἀγάλλω, ziere; med. prunke womit, bin stolz auf etwas (Dat.).
ἄγαλμα, τό, Bild, Bildsäule.
ἀγαλματοποιός, Bildhauer, Bildschnitzer.
ἄγαμαι, bewundere, staune an, weßwegen? Gen. an wem? Gen.
ἄγαν, sehr, zu sehr.
ἀγανακτέω, bin unwillig.
ἀγαπάω, liebe.
ἀγαπητός, 2. erwünscht; -ῶς, mit Mühe, kaum.
ἀγγεῖον, Gefäß.
ἀγγελία, Botschaft.
ἄγγελος, Bote.
ἀγέλη, Heerde, Schaar.
ἀγεννής, ές, unedel.
Ἀγησίλαος, König von Sparta.
Ἆγις, ιδος, König von Sparta.
ἅγιος, 3. geweiht, heilig.
ἀγκάλη, gekrümmter Arm.
ἄγκυρα, Anker.
ἁγνίζω, reinige durch Sühnopfer, opfere.
ἀγνοέω, weiß nicht, kenne nicht.
ἄγνοια, Unkenntniß.
ἀγνώς, ῶτος, unbekannt.
ἄγνωστος, 2. unbekannt.
ἀγορά, Markt, Lebensmittel.
ἄγρα, Fang, Beute.
ἀγρεύω, fange, mache Jagd auf etwas.
ἀγριαίνω, bin wild, mache zornig.
ἄγριος, 3. wild.
ἀγριότης, ητος, Wildheit.
ἄγροικος, 2. bäurisch, roh.
ἀγρός, Acker, Feld, Land.
ἀγρυπνία, Schlaflosigkeit.
ἀγχίνοια, Scharfsinn.
ἄγω, führe, χειρός, an der Hand; bringe, ziehe mir nach; εἰρήνην, ἡσυχίαν, halte.
ἀγωγή, Anleitung, Erziehung.
ἀγών, ῶνος, ὁ, Kampf, Wettkampf.
ἀγωνιάω, bin in Angst.
ἀγωνίζομαι, kämpfe um den Preis.
ἀδεής, ές, ohne Furcht.
ἄδεια, Furchtlosigkeit, Straflosigkeit.
ἀδελφή, Schwester.
ἀδελφιδοῦς, οῦ, Bruder=, Schwestersohn.
ἀδελφός, Bruder.
ἄδηλος, 2. unbekannt, ungewiß.
ἀδιάφθορος, 2. unverdorben, unbestechlich.
ἀδικέω, thue Unrecht, wem? Akk. kränke.
ἀδικία, Ungerechtigkeit.

ἄδικος, 2. ungerecht.
ἀδολέσχης, ου, Schwätzer.
ἀδοξέω, habe kein Ansehen.
Ἄδρανον, Stadt in Sicilien.
Ἄδραστος, König in Argos.
ἀδυνατέω, bin unvermögend, kann nicht.
ἀδύνατος, 2. unmöglich, kraftlos, unerreichbar.
ᾄδω, singe.
Λέγει §. 23a. ist Druckf. für Λέγει.
ἀεί, immer, ὁ ἀεί, der jedesmalige.
ἀετός, Adler.
ἀζήμιος, 2. ungestraft.
ἀηδής, ές, unlieb, unangenehm.
ἀηδών, όνος, ἡ, Nachtigall.
ἀήθης, ες, ungewohnt.
ἀήττητος, 2. unbesiegbar.
ἀήρ, έρος, ὁ, Luft.
ἀθανασία, ἡ, Unsterblichkeit.
ἀθάνατος, 2. unsterblich, unvergänglich.
Ἀθηνᾶ, die Göttin Athene (Minerva).
Ἀθήναζε, nach Athen.
Ἀθῆναι, Athen.
Ἀθηναῖος, 3. aus Athen.
Ἀθήνησι, zu Athen.
ἀθλητής, οῦ, Wettkämpfer, Athlet.
ἆθλον, Kampfpreis, Belohnung.
ἆθλος, Kampf, mühevolle Arbeit.
ἀθροίζω, häufe an, versammle.
ἀθρόος, 3. angesammelt, miteinander.
ἀθυμέω, bin muthlos.
ἄθυμος, 2. muthlos.
Ἄθως, Berg auf der Halbinsel Akte.
Αἰακός, König in Aegina, einer der Richter in der Unterwelt.
Αἰγεύς, έως, König in Attika.
αἰγιαλός, Gestade.
αἰγίθαλος, Meise.
Αἰγίμιος, dorischer Heros.
Αἰγύπτιος, 3. ägyptisch, Ägypter.
Αἴγυπτος, Ägyptus, ein König.
Αἴγυπτος, ἡ, Ägypten.
αἰδέομαι, scheue mich, vor wem? Akk. halte in Ehren.
αἰδήμων, ον, verschämt, bescheiden.
Ἅιδης, ου, Bruder des Zeus, Gott der Unterwelt; εἰς Ἅδου, in die Unterwelt.

ἀΐδιος, 2. ewig.
αἰδώς, οῦς, ἡ, Sittsamkeit, Ehrfurcht, Achtung.
Αἰθιοπία, Äthiopien, südl. von Ägypten.
Αἰθίοψ, οπος, der Äthiopier.
αἰκία, Schmach, Mißhandlung.
Αἰλιανός, Schriftsteller des 3. Jahrhunderts n. Chr.
αἷμα, τό, Blut.
αἱμάττω, besudle mit Blut.
Αἰναρία, Insel am Golf von Neapel.
Αἰνείας, Äneas, Trojaner.
αἰνέω, lobe.
αἴνιγμα, τό, Räthsel.
αἴξ, γός, ἡ, Ziege.
αἵρεσις, εως, ἡ, Wahl.
αἱρετός, 3. wählenswerth, vorzüglich.
αἱρέω, fange, nehme, erobere, erreiche; αἱρέομαι, nehme mir, wähle, ziehe vor.
αἴρω, hebe, breche auf; αἴρομαι, nehme auf mich, hebe empor.
αἰσθάνομαι, merke, fühle, nehme wahr.
αἴσθησις, εως, ἡ, Sinn, Empfindung.
αἰσχροκερδής, ές, schmutzig, gewinnsüchtig.
αἰσχρολογία, schmutzige Reden.
αἰσχρός, 3. häßlich, schändlich, schimpflich.
αἰσχύνω, entstelle; αἰσχύνομαι, schäme mich, habe Ehrfurcht, vor wem? Akk.
Αἴσωπος, Fabeldichter, c. 550 v. Chr.
αἰτέω, fodere; von wem? Akk.; Med. erbitte mir.
αἰτία, Ursache, Grund; Schuld, Vorwurf.
αἰτιάομαι, beschuldige.
αἴτιος, 3. schuldig, Urheber, Veranlassung, wovon? Gen.
Αἴτνη, der Ätna auf Sicilien.
Αἰτωλός, Ätoler.
αἴφνης, Adv. plötzlich.
αἰχμάλωτος, 2. kriegsgefangen.
αἰχμή, Lanzenspitze, Lanze.
αἰών, ῶνος, ὁ, Lebenszeit, Ewigkeit; ἐξ αἰῶνος, von aller Zeit her.
Ἀκάδημος, Heros in Athen.
Ἀκαδημία, die Akademie, ein Hain bei Athen mit einem Gymnasium, wo Plato lehrte.

ἄκαιρος, 2. unzeitig.
ἄκανθα, Dorn.
ἀκάρδιος, 2. ohne Herz.
ἀκαρεί, Adv. in kurzem.
Ἀκαρνάν, ᾶνος, aus Akarnanien.
ἀκαρπία, Unfruchtbarkeit.
Ἄκαστος, Sohn des Pelias.
ἀκέραιος, 2. in gutem Stande.
ἀκίνδυνος, 2. gefahrlos, unbesorgt.
ἀκίνητος, 2. unbeweglich, unangetastet, unantastbar.
ἀκμάζω, blühe.
ἀκμαῖος, 3. in voller Kraft stehend.
ἀκοή, Gehör, das Hörensagen.
ἀκολασία, Ungestraftheit, Zügellosigkeit.
ἀκόλαστος, 2. ausschweifend, zügellos.
ἀκολουθέω, folge (S. 65 lies ἠκολούθει).
ἀκόλουθος, Begleiter, Diener.
ἀκοντίζω, werfe (den Wurfspieß).
ἀκούσιος, 2. unfreiwillig.
ἄκουσμα, τό, das Gehörte (Musik, Gerücht 2c.).
ἀκούω, höre, von wem? auf wen? Gen.; statt eines Substantivsatzes mit ὅτι steht auch das Particip. — καλῶς ἀκούω, stehe in gutem Rufe.
ἄκρα, Gipfel, Vorgebirge, Landspitze.
ἀκρασία, Unmäßigkeit.
ἀκράτεια, Unenthaltsamkeit.
ἄκρατος, 2. ungemischt, ungemäßigt, derb.
ἀκρίβεια, Genauigkeit, Gewissenhaftigkeit, worin? Gen.
ἀκριβής, ές, genau, gewissenhaft; ἐς τὸ ἀκριβές, aufs Genaueste.
ἀκρόπολις, εως, ἡ, Burg.
ἀκρατής, ές, unmäßig, ohne Selbstbeherrschung, worin? Gen. — ῶς, Adv.
ἄκρατος, 2. ungemischt, ungemäßigt.
ἄκρος, 3. der äußerste; τὰ ἄκρα, die Spitzen, die höchsten Punkte.
ἀκτή, ἡ, schroffes Ufer, Landspitze.
ἀκτίς, ῖνος, ἡ, Strahl.
ἄκων, ἄκουσα, ἆκον, unfreiwillig.
ἀλαζονεία, Prahlerei.
ἀλαζών, όνος, Prahler.
ἀλάλαγμα, τό, Kriegsgeschrei.
Ἄλβα, Stadt in Latium.

ἀλγεινός, 3. schmerzlich.
ἀλγηδών, όνος, ἡ, Schmerzgefühl.
ἄλγος, τό, Schmerz, Leid.
ἀλέα, Wärme, bes. Sonnenwärme.
ἀλεκτρυών, όνος, Hahn.
ἀλέκτωρ, ορος, Hahn.
Ἀλέξανδρος, König von Makedonien.
ἀλήθεια, Wahrheit.
ἀληθεύω, rede die Wahrheit.
ἀληθής, ές, wahr; τὸ ἀληθές, das Wahre, die Wahrheit.
ἀληθινός, 3. wahr, ächt, wirklich.
ἀληθῶς, Adv. in Wahrheit.
ἄληπτος, 2. dem nicht beizukommen ist, unangreifbar.
Ἀλίαρτος, Stadt Böotiens.
ἁλιάς, άδος, ἡ, Kahn.
ἁλιεύς, έως, Fischer.
Ἁλικαρνασσός, Stadt in Karien.
ἁλίσκομαι, werde gefangen.
ἀλκή, Stärke, Abwehr.
Ἀλκιβιάδης, ου, Alkibiades aus Athen.
Ἀλκίνοος, König der Phäaken (Ἀλκίννου ist Druckf.).
Ἀλκμαίων, Sohn des Amphiaraos aus Argos, tödtete seine Mutter Eriphyle im Auftrag des Vaters.
ἀλλά, aber, sondern. Am Anfang einer Antwort: „ja“. Bei einer verneinenden Entgegnung: „im Gegentheil“. Am Anfang eines Ausrufes: „aber — auch“.
ἄλλος, η, ο, ein anderer, ὁ ἄλλος, der übrige; ἄλλος ἄλλο der eine dieß, der andere jenes 2c.
ἀλλότριος, 3. fremd.
ἀλόγιστος, 2. unüberlegt.
ἄλογος, 2. unvernünftig.
Ἄλπεις, εων, die Alpen.
ἄλσος, τό, Hain.
Ἀλυάττης, ου, König von Lydien.
ἄλυπος, 2. schmerzlos.
ἀλυσιτελής, ές, unvortheilhaft.
ἀλωπέκιον, Füchslein.
ἀλώπηξ, εκος, ἡ, Fuchs.
ἁλώσιμος, 2. leicht zu erobern.
ἅλωσις, εως, ἡ, Eroberung.

ἅμα, zugleich; ἅμα μέν — ἅμα δέ, zwar — zugleich aber; ἅμα — καί, kaum — als.
ἀμαθής, ές, nicht unterrichtet, roh.
ἀμαθία, Unwissenheit.
ἅμαξα, Wagen.
ἁμαρτάνω, fehle, verfehle mich.
ἁμάρτημα, τό, Fehler, Verirrung.
ἀμαυρόω, mache dunkel, verdunkle.
ἀμαύρωμα, τό, Verdunkelung.
ἄμαχος, 2. nicht streitend, unbezwinglich.
ἀμβλύνω, stumpfe ab, entmuthige.
ἀμβλύς, εῖα, ύ, stumpf.
Ἀμβρακικός, 3. zur Stadt Ambrakia in Epiros.
ἀμείβω, wechsle, ἀμείβομαι, vergelte, antworte, wem? Akk. womit? Dat.
ἀμέλεια, Sorglosigkeit, Vernachlässigung.
ἀμελέω, vernachlässige, bekümmere mich nicht, um was? Gen.
ἀμελής, ές, unbekümmert, nachlässig.
ἄμεμπτος, 2 tadellos.
ἀμετακίνητος, 2. unabänderlich.
ἀμηχανέω, bin rathlos.
ἅμιλλα, Wettstreit.
ἁμιλλάομαι, wetteifere.
ἀμιξία, Mangel an Verkehr.
Ἄμμων, ωνος, der libysche Zeus Ammon.
ἀμοιβή, Vergeltung.
ἄμπελος, ἡ, Weinstock.
ἄμυνα, Abwehr, Hilfe.
ἀμύνω, wehre ab, helfe, verschaffe Geltung; Med. vertheidige mich.
ἀμύνω, wehre ab; τινί stehe bei; ἀμύνομαι, wehre von mir ab, vertheidige mich.
ἀμφι-έννυμι, ziehe an, bekleide; Med. ziehe (mir) an, trage (ein Kleid).
ἀμφισβητέω, bin verschiedener Meinung, streite, mit wem? Dat. um was? Gen.
ἀμφισβήτησις, εως, ἡ, Streit.
ἄμως γέ πως, auf irgend eine Weise.
ἄν. 1) = ἐάν; 2) „etwa, wohl" (meist unübersetzbar).
ἀνά Präp. 1) vom Orte: nach oben hin; 2) von der Verbreitung: über — hin; 3) von der Zeit: während.
ἀνα-βαίνω, gehe, steige hinauf.
ἀνα-βάλλω, werfe hinauf, schiebe auf; auch Med.
ἀνα-γιγνώσκω, lese.
ἀναγκάζω, nöthige, zwinge.
ἀναγκαῖος, 3. nothwendig; ἀναγκαίως, nothgedrungen.
ἀνάγκη, Nothwendigkeit, Zwang; πρὸς ἀ. gezwungen; ἀνάγκη, sc. ἐστί, es ist nothwendig, man muß.
ἀν-αγορεύω, verkünde öffentlich, ernenne (ἀναγορεύουσι S. 4. Z. 4 ist Druckf.).
ἀναγραφή, das Auf-, Niederschreiben.
ἀνα-γράφω, schreibe nieder, trage ein.
ἀν-άγω, führe, schaffe hinauf, Med. u. Pass. gehe unter Segel.
ἀναδενδράς, άδος, ἡ, an Bäumen gezogener Weinstock, Weinberg.
ἀνα-δέω, umwinde, Med. feßle.
ἀνα-δίδωμι, lasse (empor)wachsen.
ἀνα-δύομαι, tauche, wachse empor, ziehe mich zurück.
ἀνα-ζητέω, suche auf, untersuche.
ἀναίδεια, Schamlosigkeit, Unverschämtheit.
ἀναιδής, ές, unverschämt.
ἀν-αιρέω, hebe empor, beseitige, gebe ein Orakel, tödte; ἀναιρέομαι, nehme für mich auf, nehme, trage davon.
ἀνα-καθίζω, setze auf, setze mich aufrecht.
ἀνα-καλέω, rufe zurück, an.
ἀνακολοῦντα Druckf. für ἀνακαλοῦντα.
ἀνα-κομίζω, trage hinauf; Med. erlange wieder.
ἀνα-κράζω, schreie auf.
Ἀνακρέων, οντος, lyrischer Dichter.
ἀνα-κρίνω, forsche aus.
ἀνα-κροτέω, klatsche Beifall.
ἀνα-λαμβάνω, nehme auf, zurück; ziehe an mich, verschaffe mir; ἐμαυτόν, erhole mich; ἄγκυραν, lichte.
ἀνάληψις, εως, ἡ, Annahme, Erlernung.
ἀναλίσκω, wende auf, verzehre.
ἀνάλωμα, τό, Aufwand.
ἀνάλωτος, 2. unbezwinglich.
ἀνα-μένω, erwarte, dauere aus.
ἀνα-μίγνυμι, vermische, Pass. mische mich, unter wen? Dat.

ἀνα-μιμνήσκω, erinnere, Pass. erinnere mich; woran? Gen. und Akk.
ἄνανδρος, 2. unmännlich, feig.
ἀνα-νεύω, verneine, schlage eine Bitte ab durch Rückwärtsziehen des Kopfes.
Ἀναξαγόρας, ου, Philosoph aus Klazomenä.
Ἀναξίμανδρος, Philosoph aus Milet.
ἀναπαίδευτος, Druckf. für ἀπαίδευτος.
ἀνα-παύω, lasse ausruhen, Med. ruhe aus.
ἀνα-πείθω, überrede.
ἀνα-πέμπω, schicke herauf, stoße aus (Seufzer).
ἀνα-πετάννυμι, breite aus, öffne, Med. öffne mich.
ἀνα-πηδάω, springe hinauf.
ἀνα-πίπτω, falle zurück, lege mich nieder.
ἀνα-πλάσσω, bilde neu, gestalte.
ἀνάπλεως, ων, voll, wovon? Gen.
ἀνα-πνέω, athme auf.
ἀναπνοή, das Aufathmen, Erholung.
ἄναρθρος, 2. unartikulirt.
ἀναρίθμητος, 2. unzählig, unermeßlich.
ἀν-αρπάζω, raube weg, entführe, raffe weg.
ἀνα-ρρήγνυμι, breche auf, bringe zum Ausbruch.
ἀν-αρτάω, hänge, knüpfe an etwas.
ἀναρχία, Gesetzlosigkeit.
ἀνα-σκάπτω, lasse nachgraben, wo? Akk., reiße nieder.
ἀνα-σπάω, ziehe herauf, in die Höhe.
ἀνάστατος, 2. zerstört, entvölkert.
ἀνα-στέφω, bekränze.
ἀνα-στρέφω, kehre um.
ἀνα-σχίζω, spalte, schlitze auf.
ἀνα-τέλλω, gehe auf, komme hervor.
ἀνα-τίθημι, stelle auf, schreibe zu, weihe.
ἀνα-τρέπω, stürze um, verderbe.
ἀνα-φαίνω, mache kund, Pass. erscheine.
ἀνα-φέρω, bringe herauf, richte auf (aus einem üblen Zustand), beziehe auf etwas (εἴς τι).
ἀνα-φεύγω, fliehe hinauf, zurück.
ἀνα-φύω, lasse emporwachsen; Med. erwachse.
ἀνα-χωρέω, gehe, weiche zurück.
ἀνδράποδον, τό, Sklave.
ἀνδρεία, Tapferkeit.
ἀνδρεῖος, 3. mannhaft, tapfer (für ἀνδρειοτέρον S. 8 Z. 1 lies ἀνδρειοτέραν).
ἀνδρία, Männlichkeit, Tapferkeit.
ἀνδριάς, άντος, ὁ, Bild eines Mannes, Bildsäule.
ἀν-εγείρω, wecke auf, Med. erwache.
ἀνέγκλητος, 2. unbescholten.
ἀνειμένος, 3. lässig, schlaff, zügellos.
ἄν-ειμι, -ιέναι, gehe auf.
ἀνέκπληκτος, 2. unerschüttert.
ἀνεκτός, 2. u. 3. erträglich.
ἀνελευθερία, eines freien Mannes unwürdige Sinnesart.
ἀνελεύθερος, 2. knechtisch, gemein.
ἄνεμος, Wind.
ἀνεπίκλητος, 2. unbescholten.
ἀν-έρχομαι, komme hinauf, hin.
ἄνεσις, εως, ἡ, Linderung, Erholung.
ἄνευ, ohne, c. gen.
ἀν-ευρίσκω, finde auf, entdecke.
ἀνέφικτος, 2. unerreichbar, unmöglich.
ἀν-έχω, halte in die Höhe, Med. ertrage.
ἀνήκεστος, 2. heillos.
ἀνήρ, ἀνδρός, ὁ, Mann, Mensch.
ἀνηρόμην, Aor. fragte aus.
ἀνθ-ίστημι, stelle entgegen, Med. mit Aor. II. Perf. Akt. stelle mich entgegen.
ἄνθος, τό, Blüthe, Blume.
ἄνθραξ, ακος, ὁ, Kohle.
ἀνθρώπειος, 3. die Menschen betreffend.
ἀνθρώπινος, 3. menschlich, für Menschen passend.
ἄνθρωπος, Mensch. [Oberbefehl.
ἀνθύπατος στρατηγός, Prokonsul mit
ἀνθ-υπουργέω leiste dagegen, erweise einen Gegendienst.
ἀνιαρός, 3. lästig.
ἀνιάω, kränke, Pass. bin betrübt.
ἀν-ίημι, lasse nach, frei; ἀνειμένος, lässig, zügellos.
ἀν-ιμάω, ziehe (mit Riemen) herauf.
ἀν-ίστημι, mache aufstehen, erwecke, richte auf; Med. mit Aor. II u. Perf. Akt. stehe auf, erhebe mich.
Ἀννίβας, α, Hannibal.

ἀνοδία, Unwegsamkeit.
ἀνόητος, 2. unverständig.
ἄνοια, Unverstand.
ἀν-οίγω, u. -οίγνυμι, öffne.
ἀνόμοιος, 2. unähnlich, verschiedenartig.
ἄνομος, 2. gesetzlos.
ἀνόσιος, 2. unheilig, gottlos.
ἀνταγωνιστής, οῦ, Feind, Nebenbuhler.
Ἀνταλκίδας, α, angesehener Lakedämonier.
